esse nesciat. Locum quidem ut accusemus vitii, neque Eustathius errorem subindicans, neque Priscianus patiuntur, neque denique omnium exemplarium consensus. Dionysium utro tam supino errore si damnabimus, pessime de elegantissimo poëta sentiemus; quem ipsæ Musæ docuisse videntur *Errore absque vago*, ut alicubi ait, *pontum metirier omnem, Monteisque, tractusque soli, volventiaque astra.* Equidem si cujùs loci situs ignoratus ignosci Dionysio poterat, Taprobanes poterat: cum de ea certi aliquid sero admodum veteres acceperint, & in eadem collocanda non minus graviter Strabonem ipsum errasse videamus. sed tamen hunc locum excusat loquendi ratio. Nam ὑπὲρ auctori significat *ultra*, Vult igitur fortasse Dionysius, non *supra*, ut perperam vulgo interpretantur, sed ultra Taprobanem insulam esse tropicum Cancri. qua re nihil est verius. Nam Taprobane, secundum ipsius Ptolomæi tabulas, qua proxime ad septentrionem accedit, ad decimumtertium gradum pertingit, à quo undecimo ulterius gradu est Tropicus Cancri.

Vers. 599. Περιμήκετος ὁλκός. Sic Eustathius. citat enim μήκιστος ὁλκός. Quidam περιμήκεος.

Vers. 601. Ἀντιάσειαν. Sic Eustathius. Quidam ἀντήσειαν.

Vers. 622. Ἐπ' ἀντολίης. Sic Eustathius. Quidam ὑπ' ἀντολίης.

Verſ. 624. Edo πυμάτοιο περὶ ῥόον, è variis lectionibus Roberti, carminis cauſa. cum edat ipſe πύματον περὶ ῥόον. Euſtathius citat πύματον περὶ ῥόον.

Verſ. 628. Ἀλλ' οὐκ ἂν τόσσον. Quod Euſtathius hic & ſupra ſcholio viceſimoſecundo annotat, Aſiam multis partibus majorem eſſe quam Africam & Europam conjunctas, neque Dionyſium ſenſiſſe puto, neque ex his ejus verbis id elicere poſſum. Itaque meo arbitrio locum transtuli.

Verſ. 629. Ἀπείρατος. Sic Euſtathius. Quidam ἴσω ῥόον.

Verſ. 631. Ἔνδοθι βάλλον. Sic Euſtathius. Quidam εἰς ἄλα βάλλον.

Verſ. 641. Ὀρθότερον. Sic Euſtathius. Quidam ὀρθότατον.

Verſ. 642. Ὀξυκάρηνον. Quidam ὑψικάρηνον. cujus non meminit Euſtathius, ſed citat ὀξυκάρηνον, addens eſſe qui legant ὀρθόκραιρον.

Verſ. 643. Πολυσχιδὲς. Ita Euſtathius. Quidam περισχιδὲς. Priſcianus etiam cum edito convenire videtur.

Verſ. 646. Πάντ' ὀνόματ' εἴπῃ. Sic Euſtathius. Quidam πάντων ὄνομ' εἴπῃ.

Verſ. 660. Ἐς μέσα πίπτει. Sic quædam Roberti exemplaria habent, & citat Euſtathius. Idque edidi. Robertus edit ἐς μυχά.

Verſ. 666. Τοῦ δ' ἂν κυμαίνοντος. Miror in nullis Roberti codicibus diverſitatem ullam fuiſſe, cum Euſtathius χειμαίνοντος citet, nec aliud quicquam agnoſcat.

Verſ.

Verſ. 667. Ἀπὸ κρυμοῖο. Sic Euſtathius. Quidam ὑπό. Si diis placet.

Verſ. 668. Φῶτες. Quidam χῶρον. Euſtathius φῶτες.

Verſ. 671. Ἴδοιο. Quidam ὀρῶν. Euſtathius adjuvat quod edidi.

Verſ. 680. Quidam Σαυρομάταις. Euſtathius aperte accuſativum agnoſcit.

Verſ. 684. Ζεφύροιο. Sic quædam exemplaria Roberti, & Euſtathius. Robertus edit βορέαο.

Verſ. 687. Πελασγίδος. Sic Euſtathius, & Priſcianus. Quidam Λακωνίδος.

Verſ. 690. Κόλπον. Sic Euſtathius, & nonnulli codices Roberti. Ipſe πόντον edit.

Verſ. 702. Αἰωάων. Sic Euſtathius. Quidam σεληνῶν.

Verſ. 703. Νεβρεῖδας ἐπί. Sic Euſtathius. Quidam νεβρεῖδα περί.

Verſ. 707. Καταγράψαιμι. Sic Euſtathius. Quidam μεταγράψαιμι. Item διαγράψαιμι.

Verſ. 714. Quædam Euſtathii exemplaria habuerunt ἐρυθραίων Ἀραβηνῶν· præfert tamen Euſtathius ſcripturam vulgatam.

Verſ. 721. Ὀξὺ δ' ἐπ' ἄρκτοις Ἑλκομένη. Ita quidam codices Roberti. & Euſtathius citat. approbat etiam Priſciani interpretatio, ut eam ex libris antiquis reſtituo. Quidam ἀψ ἢ μετ' ἄρκτον Ἑλκόμενος. Robertus autem edit ἀψ ἢ μετ' ἄρκτους Ἑλκομένη.

Verſ. 730. Οὖννοι. Quidam ὦννοι. Item Θοῦννοι. Euſtathius ὦννοι vel Θοῦννοι ait ſcribi, ſed

magis probat ξῦνοι. Et Prisciani quædam exemplaria cum ξῦνοι, quædam cum Θῦνοι facere videntur.

Vers. 733. Τρηχάνιοί τ' ἄπυροί τ'. Sic Priscianus, & Eustathius, qui annotat eos à Geographo Ταπύρους dici. Robertus eam diversitatem in libris etiam suis observavit. Quidam igitur habent Τρηχάνιοι Τάπυροί τ'.

Vers. 737. Παρνησσοῖο. Robertus nullam varietatem annotat. Eustathius in quibusdam exemplaribus reperiri ait παρπαμισσοῦ.

Vers. 752. Φρῦροί τε. Sic Priscianus, & Eustathius, qui monet legi ab aliquibus Φρῦνοί τε. Quidam Φρῦνοί τε.

Vers. 756. Quidam γαίης. Eustathius ποίης. rectius.

*Vers.*760. Λειλειμμένη. Sic ex Eustathio, & varietatibus Roberti edo, potius quam ut Robertus κεκλιμένη.

*Vers.*764. Ἄχει. Quidam ἄγχι. Bene est, quod gravissimæ huic controversiæ componendæ Prisciani intercedit auctoritas *usque ad Chalcedonis arva.*

*Vers.*773. Ἐνθ' Ἀμαζονίδεσσιν. Legendum ἔνθά τ', vel quid simile, propter versum.

*Vers.*774. Προΐησιν. Sic Eustathius. Quidam εἰΐησιν.

*Vers.*780. Περὶ. Sic Eustathius. Quidam παρά.

Vers. 785. Ἑλκόμεναι. Sic Eustathius. Quidam ἑλκομένου.

Vers. 791. Στομάτων. Quidam σόματος. Quod etsi hic citat Eustathius: tamen sequenti scholio manifeste σομάτων agnoscit. *Vers.*

Verſ. 807. Ἠρπάξατο. Sic Euſtathius, & Priſcianus. Quidam ἀπεινόσφισι.

Verſ. 809. Ἐπιτρέχει. Sic Euſtathius. Quidam ἀνατρέχει.

Verſ. 823. Ἀγχιάλη. Sic è quibuſdam libris Roberti; & Euſtathio edidi. Ejus verba ſunt, ἡ τῶν Ἰώνων γῆ ἀγχίαλος καὶ αὐτή. Robertus ἀγχίαλοι.

Verſ. 828. Νηόν. Sic Euſtathius. Quidam βωμόν.

Verſ. 834. Ὕλην. Sic Euſtathius, & nonnulli codices Roberti. Nam ipſe edit ὕδωρ.

Verſ. 836. Ἐν Ἀσίδι. Euſtathius enim citat ἐν Ἀσίᾳ. Quidam ἐς Ἀσίδα. Quid non audeamus fingere?

Verſ. 838. Καχλάζοντος. Quidam παφλάζοντος. Euſtathius utrumque.

Verſ. 841. Ἐλιοσόμενοι. Sic Euſtathius. Quidam ἀμειβόμενοι.

Verſ. 843. Euſtathius admonet νεοθηλέες cum νέβροι conjungendum. Nam hic varietatem ſollicite Robertus annotat.

Verſ. 844. Περισμαργγεῦντες edo ex Euſtathio, & varietatibus. Robertus πέρι σμαργγεῦντες.

Verſ. 850. Quidam Παμφυλίων. Sicut in Ἰηπυγίων, & Ἰηπύγων, utrumque citat Euſtathius.

Verſ. 854. Παμφυλίδες. Sic Euſtathius, & Priſcianus. Quidam Παμφυλίδος.

Verſ. 859. Euſtathius ait eſſe qui legant Τελμισσοῖς. ſed eos non probat, quia Telmiſſus

G 5 urbs

urbs Cariæ ſit, aut Lyciæ. Priſciani quædam exemplaria etiam Telmeſſus habent. Robertus, quod miror, nullam habet varietatem.

Verſ. 864. Κόλπος. Sic Euſtathius, & Priſcianus. Quidam πόντος. Noluerunt enim ſine diverſitate locum hunc prætermittere.

Verſ. 877. Quidam Συρίων τε πόληες. Priſcianus, *Syriæque ſequuntur urbes*, adjuvans quod edidi.

Verſ. 878. Robertus edit περιμήκεες. Ego ex ejus varietatibus περιμήκεος, auctoritate Priſciani, *per longi litora flexus*.

Verſ. 890. Ἕως Ἰνδῶν. Sic Priſcianus legit, *nigros producit ad Indos*. Quidam ἐς ἠῶ.

Verſ. 897. Ἐς νότον ἕρπει. Frequens Dionyſio ἀνάληψις. Robertus edit ἐγγύθεν ἕρπει quod vix video quid hîc ſignificet. Itaque varietatem ejus prætuli.

Verſ. 910. Ἀνθεμόεσσαν. Priſcianus id fortaſſe tranſtulit, *pulchram*. Quidam ἠνεμόεσσαν.

Verſ. 916. Περσηΐα. Sic Priſcianus, *Poſidi turres*. Quidam Πισιδήϊα.

Verſ. 922. Δένδρεσι. Sic Euſtathius. Quidam δένδρεα.

Verſ. 926. Ἄχελ σελάνων. Sic Euſtathius, addens quoſdam ὀξυτόνως σελανοὶ, ad exemplum Γερμανοὶ, Ἀλανοὶ, & ſimilium, ſcribere. At in codicibus Roberti varietatum plus ſatis eſt. ἄχελς ἐλανῶν. aut ἐλαννῶν. item ἄχελ σελανῶν, & ἄγχι σελανῶν.

Verſ.

Verſ. 943. Quidam αὐτόματοι. Euſtathius cum edito facere videtur, citat enim αὐτομάτῳ ὕδατι, numero ſingulari.

Verſ. 945. Φέρουσαι, ex Euſtathio & Roberti varietatibus edo. Robertus φέροντες.

Verſ. 946. Αὐτὰρ ὁ νεβρίδας μὲν ἐπωμαδίας. Euſtathius adjuvat editionem.

Verſ. 948. Quidam ἀκροχάλιξ οἴνῳ, πλεκτὰς δ' ἀνεδήσατο. Euſtathius mecum facit.

Verſ. 954. Ὑπὲρ. Quidam ὑπὸ, vel ἔπι. Item κλιτὺν quidam ſcribunt. Euſtathius confirmat quod editum eſt.

Verſ. 956. Quidam Χαλβάσιοί τε. Euſtathius & Priſcianus χαβλάσιοι adjuvant.

Verſ. 964. Quidam καταῤῥώγεσσιν. quod Euſtathio placet, etiamſi citet κατωρυχέεσσιν.

Verſ. 972. Μέχρις ἀλικλύστοιο.
Quidam μέχρις πολυκλύστοιο. Sic Euſtathius. Nullus eſt modus harum ineptiarum.

Verſ. 984. Φέρονται ῥόον ἴσον ἐλαύνων. Sic Euſtathius. Quidam φορέει ῥόον ἐγγὺς ὁδεύων.

Verſ. 994. Νομοὺς. Sic Euſtathius. Quidam νομὰς.

Verſ. 1019. Quidam Μηροί τε, Γηροί τε, καὶ ἀνέρες ἀτερματηνοί. Euſtathius & Priſcianus congruunt cum edito.

Verſ. 1033. Μαλλοῖς. Sic Euſtathius. Quidam μαλλῷ.

Verſ. 1038. Ἡ μὲν ἐς Ὑρκανίης, ἡ δ' ὕρεα. hanc variam lectionem adſcivi in textum, ex Priſciano. Robertus edit ἡμὲν & ἡδ', neque male.

Verſ.

Verſ. 1064. Κασπιάδων. Sic Euſt. & Priſc. Quidam Καυκασίων.

Verſ. 1090. Λαβρότατον. Sic Euſtathius. Quidam λαβρότατος.

Verſ. 1096. Ἄρβάς τε. Sic Euſtathius, addens quoſdam Ἄραβας tribus α ſcribere. quod edit Robertus, nulla, quod miror, annotata varietate. Priſciani tres mſſ. codices *Haritas*, duo impreſſi *Aribas* habebant.

Verſ. 1097. Παρπανισοῖο. Quidam παρνησσοῖο. Item παρπαμισοῖο. Priſcianus *Parpanei montis*, &c. Euſtathius tres diverſitates agnoſcit, παρπανισοῖο primum, deinde παρπανίσοιο, tertiam παρπαμισοῖο. Ejus verba aſſcribam. ὅτι βούλονταί τινες παρπάνισον προπαροξυτόνως λέγεσθαι ὄρος Ἰνδικὸν, οὐ μὴν παρνισὸν, (emendo hic παρπανισόν. nam duas has voces ſolo accentu diſtinguit, nequis inde παρνησσοῖο probet) ὡς πολλὰ τῶν ἀντιγράφων ἔχουσι. πολλοὶ δὲ καὶ ὀξυτόνουσι, καὶ διὰ τοῦ μ γράφουσι παρπαμισόν. ὁ δὲ γεωγράφος παροπαμισὸν γράφει πεντασυλλάβως, καὶ τοὺς ἐκεῖ παροπαμισάδας καλεῖ. Perdifficile eſt de montium appellationibus certi aliquid conſtituere, quod harum regionum minime accuratam cognitionem veteres habuerint: nonnullos etiam in regum quibus placere ſtudebant gratiam montium nomina ſponte confudiſſe legamus: ut Caucaſi, Hæmodi montis. Sed de hoc loco non dubito quin ſit legendum παρπανισοῖο, partim ex interpretatione Priſciani, partim ex citatione Euſtathii. etſi montis ipſius appellatio παρπαμισοῖο requirere videatur.

tur. Nos quidem non tam curare debemus quod verum sit montis nomen, quam quo Dionysium usum esse sit verisimile.

Vers. 1099. Quidam ὑπὲ λεπῆς Ψάμμε. Eustathius citat quemadmodum excusum est.

Vers. 1104. Sicut edidi legisse videtur Eustathius. repetit enim hunc versum in hæc verba, πάντη δ' ὑπὸ πέτραις αἱ φλέβες. Robertus edit πάντη δ' ἐν πέτρῃσιν ὑπό. malui itaque variam ejus lectionem.

Vers. 1106. Quidam τὰς ἀπὸ τέμνοντες. Eustathius ἐντεῦθεν ἀποτεμνόμενοι, cum edito conveniens.

Vers. 1118. Quidam προμολῆσιν. Eustathius utriusque meminit. Mirum ni sponte Robertus neglexit προχοῇσιν adnotare. nam Græcos id præteriisse vix possum credere.

Vers. 1130. Πιαίνουσιν. Sic Eustathius: & res ipsa postulat. ut mirer τελεσῆσιν, quod nonnulli codices hic habent, interpretem reperire.

Vers. 1138. Λοξόν. Sic Eustathius. Quidam πολλόν.

Vers. 1139. Συρόμενον δέχεται πλωτός. Sic Eustathius & Priscianus. Quidam συρόμενος δέχεται πλωτόν.

Vers. 1141. Τόξιλοι. Sic plurima exemplaria scribere testatur Eustathius: sed à Geographo Taxilos dici. quam scripturam Robertus è nonnullis exemplaribus annotat, & Priscianus utitur.

Vers.

Verſ. 1142. σκόδροι. Sic Priſcian. Quidam σκόθροι, vel σκύθροι.

Verſ. 1143. Πόκαλέων. Quidam Πευκανέων utrunque citat Euſtathius. Priſcianus *Peucaleique.* unum tamen ejus exemplar habebat *Pencaleique.*

Verſ. 1144. Γαργαρίδαι. Sic Euſtathius, & Priſcianus. Quidam Γανδαρίδαι.

Verſ. 1145. Μέγαρσος. Nulla hic varietas à Roberto annotata eſt. Euſtathius tamen hoc ſcholio bis Μάγαρσον vocat, nec eſt veriſimile aliter eum legiſſe; habebat & unum exemplar Priſciani *Magarſus.*

Verſ. 1146. Λαβρότατοι. Sic Euſtathius. Quidam λαβρότατος, ut ad ſolum Megarſum pertineat. quam lectionem Priſcianus, transferendo *rapidusque Megarſus*, approbat.

Verſ. 1148. Ἑλκόμενοι. Sic Euſtathius. Quidam ἑλκομένην. id Priſcianus transfert, *porrigitur quæ ad terræ Colidis auſtros.*

Verſ. 1161. Ὤλεσεν. Sic Euſtathius. Quidam ἔσβεσεν.

Verſ. 1164. Στήσας. Sic Euſtathius. Quidam ἐρύσας ſcribunt, quia fortaſſe σήλας & σήσας ſimiles eſſe voces videbant.

Verſ. 1174. Πόντοιο. Sic Euſtath. Quidam ποτάμοιο, ridicule.

Verſ. 1176. Euſtathius annotat etiam ἀργιλόεσσα ſcribi, more Attico.

Verſ. 1178. Quidam plurali numero ἄνθεσι. Euſtathius ἄνθει agnoſcit. Minium enim ait à Dionyſio vocari ἄνθος Ἀσσυρίης γῆς, per periphraſin.

Hæc

Hæc habui, benevole Lector quæ de Varietatibus annotarem. in quibus si tam pauca quæ aliquid habeant operæ pretii esse indignaberis, nihil mirabor. Mihi quidem hercle, si cui merito alteri, hæ quisquiliæ sæpe bilem, sæpe iocum ut ille ait, movere: tædium vero semper; devorandum tamen fuit. Vale, & fruere.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ
ΠΛΟΥΤΟΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΛΟΥΤΟΥ ΠΡΟΣΩΠΑ.

Καρίων οἰκέτης.
Χρέμυλος δεσπότης.
Πλοῦτος.
Χορὸς ἀγροίκων.
Βλεψίδημος.
Πενία.
Γυνὴ Χρεμύλου
Δίκαιος ἀνήρ.
Ἕτερος ἀνὴρ ἄδικος.
Συκοφάντης.
Γραῦς, ἡ φίλη τοῦ μειρακίου.
Νεανίας.
Ἑρμῆς.
Ἱερεὺς Διός.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΠΛΟΥΤΟΣ.

Σκηνὴ ἡ πρώτη.

Τρίμετροι Ιαμβικοί.

ΚΑΡΙΩΝ, ΧΡΕΜΥΛΟΣ.

Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοί.
Δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
Ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
Δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
Μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
Κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
Καὶ ταῦτα μὲν δὴ ταῦτα. Τῷ δὲ Λοξίᾳ,
Ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,

Μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
Ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς,
Μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην·
Ὅς τις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
Τοὐναντίον δρῶν, ἢ προσῆκ' αὐτῷ ποιεῖν.
Οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·
Οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται.
Καὶ ταῦτ' ἀποκρινομένῳ τὸ παράπαν οὐδὲ γρῦ.
Ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
Ἢν μὴ φράσῃς, ὅτι τῷδ' ἀκολουθοῦμέν ποτε,
Ὦ δέσποτ', ἀλλά σοι παρέξω πράγματα.
Οὐ γάρ με τυπτήσεις, στέφανον ἔχοντά γε.
ΧΡ. Μὰ Δί'. ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
Ἵνα μᾶλλον ἀλγῇς. ΚΑΡΙΩΝ. Λῆρος· οὐ γὰρ παύσομαι,
Πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί.
Εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα.
ΧΡ. Ἀλλ' οὔ σε κρύψω. τῶν ἐμῶν γὰρ οἰκετῶν
Πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
Ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνήρ,
Κακῶς ἔπραττον, καὶ πένης ἦν. ΚΑ. Οἶδά τοι.
ΧΡ. Ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες,
Καὶ συκοφάνται, καὶ πονηροί. ΚΑΡ. Πείθομαι.
ΧΡ. Ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεόν·
Τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
Ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
Τὸν δ' υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
Πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους,
Εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
Ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.
ΚΑΡ. Τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;
ΧΡ. Πεύσῃ σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
Ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,

Ἐκέ-

Ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ᾽ ἔτι.
Πείθειν δ᾽ ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
ΚΑΡ. Καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ; ΧΡ. Τουτῳί.
ΚΑ. Εἶτ᾽ οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,
Φράζουσαν, ὦ σκαιότατέ, σοι σαφέστατα,
Ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;
ΧΡ. Τῷ τοῦτο κρίνεις; ΚΑΡ. Δηλονότι καὶ τυφλῷ
Γνῶναι δοκεῖ τοῦθ᾽, ὡς σφόδρ᾽ ἐστὶ συμφέρον
Τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
ΧΡ. Οὐκ ἔσθ᾽ ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
Ἀλλ᾽ εἰς ἕτερόν τι μεῖζον. ἢν δ᾽ ἡμῖν φράσῃ,
Ὅστις ποτ᾽ ἐστὶν οὑτοσὶ, καὶ τοῦ χάριν,
Καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδὶ,
Πυθοίμεθ᾽ ἂν τὸν χρησμὸν ἡμῶν, ὅ, τι νοεῖ.
ΚΑΡ. Ἄγε δὴ σὺ, πρότερον σαυτὸν ὅστις εἶ, φράσον.
Ἢ τἀπὶ τούτοις δρῶ. ΧΡ. Λέγειν χρὴ ταχὺ πάνυ.

ΔΡΑΜΑΤΟΣ ΠΡΩΤΟΥ

Σκηνὴ δευτέρα.

Τρίμετροι ἰαμβικοί.

ΠΛΟΥΤΟΣ, ΚΑΡΙΩΝ, ΧΡΕΜΥΛΟΣ.

Ἐγὼ μὲν οἰμώζειν λέγω σοι. ΚΑΡ. Μανθάνεις,
Ὅς φησιν εἶναι; ΧΡ. Σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
Σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει·
Ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
Ἐμοὶ φράσον. ΠΛ. Κλάειν ἔγωγέ σοι λέγω,
ΚΑΡ. Δέχου τὸν ἄνδρα, καὶ τὸν ὄρνιν τοῦ θεοῦ.
ΧΡ. Οὔτοι, μὰ τὴν Δήμητρα, χαιρήσεις ἔτι.
Εἰ μὴ φράσεις γὰρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.
ΠΛ. Ὦ τᾶν ἀπαλλάχθητον ἀπ' ἐμοῦ. ΧΡ. Πώμαλα.
ΚΑΡ. Καὶ μὴν ὃ λέγω, βέλτιστόν ἐστι, δέσποτα.
Ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
Ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν, καταλιπὼν
Ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
ΧΡ. Ἀλλ' αἶρε ταχέως. ΠΛ. Μηδαμῶς. ΚΑΡ. Οὔκουν ἐρεῖς;
ΠΛ. Ἀλλ' ἢν πύθησθέ μ', ὅς τις εἴμ', εὖ οἶδ' ὅτι
Κακόν τι μ' ἐργάσεσθε, κοὐκ ἀφήσετε.
ΧΡ. Νὴ τοὺς θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.

ΠΛ.

ΠΛ. Μέθεσθέ νῦν με πρῶτον. ΧΡ. Ἢν μεθίεμεν.
ΠΛ. Ἀκούετον δή. δεῖ γὰρ ὡς, ἔοικ᾽, ἐμὲ
Λέγειν, ἃ κρύπτειν ἦ παρεσκευασμένος.
Ἐγὼ γάρ εἰμι Πλοῦτος. ΧΡ. Ὦ μιαρώτατε
Ἀνδρῶν ἁπάντων. εἶτ᾽ ἐσίγας Πλοῦτος ὤν;
ΚΑΡ. Σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος,
Ὦ Φοῖβ᾽ Ἄπολλον, καὶ θεοί, καὶ δαίμονες,
Καὶ Ζεῦ. τί φής; ἐκεῖνος ὄντως εἶ σύ; ΠΛ. Ναί.
ΧΡ. Ἐκεῖνος αὐτός; ΠΛ. Αὐτότατος. ΧΡ. Πόθεν οὖν, φράζον,
Αὐχμῶν βαδίζεις; ΠΛΟΥΤ. Ἐκ Πατροκλέους ἔρχομαι,
Ὃς οὐκ ἐλούσατ᾽, ἐξότου περ ἐγένετο.
ΧΡ. Τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.
ΠΛ. Ὁ Ζεύς με ταῦτ᾽ ἔδρασεν ἀνθρώποις φθονῶν.
Ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ᾽, ὅτι
Ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
Μόνους βαδιοίμην, ὁ δέ μ᾽ ἐποίησε τυφλόν,
Ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα·
Οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
ΧΡ. Καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους.
Καὶ τοὺς δικαίους. ΠΛΟΥΤ. Ὁμολογῶ σοι. ΧΡ. Φέρε, τί οὖν,
Εἰ πάλιν ἀναβλέψειας, ὥσπερ καὶ πρὸ τοῦ,
Φεύγοις ἂν ἤδη τοὺς πονηρούς; ΠΛ. Φήμ᾽ ἐγώ.
ΧΡ. Ὡς τοὺς δικαίους δ᾽ ἂν βαδίζοις; ΠΛ. Πάνυ μὲν οὖν.
Πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνου.

ΧΡ.

ΧΡ. Καὶ θαυμάζω γ' οὐδὲν, οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
ΠΛ. Ἀφετόν με νῦν· ἴσον γὰρ ἤδη τἀπ' ἐμοῦ.
ΧΡ. Μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεθά σου.
ΠΛ. Οὐκ ἠγόρευον, ὅτι παρέξειν πράγματα
Ἐμέλλετόν μοι; ΧΡ. Καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
Καὶ μή μ' ἀπολίπῃς, οὐ γὰρ εὑρήσεις ἐμοῦ
Ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα.
Μὰ τὸν Δί'. οὐ γάρ ἐστιν ἄλλος, πλὴν ἐγώ.
ΠΛ. Ταυτὶ λέγουσι πάντες, ἡνίκ' ἂν δέ μου
Τύχωσ' ἀληθῶς, καὶ γένωνται πλούσιοι,
Ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
ΧΡ. Ἔχει μὲν οὕτως· εἰσὶ δ' οὐ πάντες κακοί.
ΠΛ. Μὰ Δί', ἀλλ' ἁπαξάπαντες, ΚΑΡ. Οἰμώξεις μακρά.
ΧΡ. Σὺ δ' ὡς ἂν εἰδῇς, ὅσα παρ' ἡμῖν, ἢν μένῃς,
Γενήσετ' ἀγαθὰ, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
Οἶμαι γὰρ οἶμαι (ξὺν θεῷ δ' εἰρήσεται)
Ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
Βλέψαι ποιήσας. ΠΛ. Μηδαμῶς τοῦτ' ἐργάσῃ.
Οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. ΚΑΡ. Τί φής;
Ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛ. Ο Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων μῶρ', ἐμ', εἰ
Πύθοιτ' ἂν, ἐπιτρίψειε. ΧΡΕ. Νῦν δ' οὐ τοῦτο δρᾷ,
Ὅς τις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
ΠΛ. Οὐκ οἶδ'. ἐγὼ δ' ἐκεῖνον ὀῤῥωδῶ πάνυ.
ΧΡ. Ἄληθες; ὦ δειλότατε πάντων δαιμόνων.
Οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα,

Καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
Εάν γ' ἀναβλέψῃς σὺ, κἂν μικρὸν χρόνον;
ΠΛ. Ἃ, μὴ λέγ', ὦ πόνηρε, ταῦτ'. ΧΡΕ. Ἔχ' ἥσυχος.
Εγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
Μεῖζον δυνάμενον. ΠΛ. Εμὲ σύ; ΧΡ. Νὴ τὸν οὐρανόν.
Αὐτίκα γὰρ ἄρχει διὰ τί ὁ Ζεὺς τῶν θεῶν;
ΚΑΡ. Διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ. ΧΡΕ. Φέρε,
Τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦτ'; ΚΑΡ. Ὁδί.
ΧΡ. Θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;
ΚΑΡ. Καὶ νὴ Δί', εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡ. Οὐκοῦν ὅδ' ἐστὶν αἴτιος· καὶ ῥᾳδίως
Παύσειεν, εἰ βούλοιτο, ταῦτ' ἄν; ΠΛ. Ὁτι τί δή;
ΧΡ. Ὅτ' οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
Οὐ βοῦν ἄν, οὐχὶ ψαιστὸν, οὐκ ἄλλ' οὐδὲ ἕν,
Μὴ βουλομένου σοῦ. ΠΛ. Πῶς; ΧΡ. Ὅπως; οὐκ ἔσθ' ὅπως
Ωνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
Αὐτὸς διδῷς τ' ἀργύριον· ὥστε τοῦ Διὸς
Τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
ΠΛ. Τί λέγεις, δι' ἐμὲ θύουσιν αὐτῷ; ΧΡΕΜ. Φήμ' ἐγώ.
Καὶ νὴ Δί', εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν,
Ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
Ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.
ΚΑΡ. Εγωγέ τοι διὰ σμικρὸν ἀργυρίδιον
Δοῦλος γεγένημαι, διὰ τὸ μὴ πλουτεῖν ἴσως.
ΧΡ. Καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,

Οταν μὲν αὐτὰς τὶς πένης πειρῶν τύχῃ,
Οὐδὲ προσέχειν τὸν νοῦν· ἐὰν δὲ πλούσιος,
Τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
ΚΑΡ. Καὶ τούς γε παῖδας φασὶ ταυτὸ τοῦτο δρᾶν,
Οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
ΧΡ. Οὐ τούς γε χρηστοὺς, ἀλλὰ τοὺς πόρνους. ἐπεὶ
Αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί. ΚΑΡ. Τί δαί;
ΧΡ. Ο μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικάς.
ΚΑΡ. Αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως,
Ονόματι περιπέττουσι τὴν μοχθηρίαν.
ΧΡ. Τέχναι δὲ πᾶσαι διά σε καὶ σοφίσματα,
Εν τοῖσιν ἀνθρώποισιν ἔσθ' εὑρημένα.
Ο μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος·
Ετερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται.
Ο δὲ χρυσοχοεῖ τὶς, χρυσίον παρὰ σοῦ λαβών.
Ο δὲ λωποδυτεῖ γε, νὴ Δί'. ὁ δὲ τοιχωρυχεῖ·
Ο δὲ κναφεύει τις· ὁ δὲ πλύνει κώδια·
Ο δὲ βυρσοδεψεῖ γ'· ὁ δέ γε πωλεῖ κρόμμυα·
Ο δ' ἀλοὺς γε μοιχὸς, διά σέ που παρατίλλεται.
ΠΛ. Οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.
ΧΡ. Μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
ΚΑΡ. Ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;
ΧΡ. Τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.
ΚΑΡ. Τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
ΧΡ. Ο Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
ΚΑΡ. Ο Βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
ΧΡ. Αργύριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;

ΚΑΡ.

ΚΑΡ. Φιλέψιος δ' οὐχ ἕνεκά σου μύθους λέγει;
ΧΡ. Ἡ ξυμμαχία δ' οὐ διά σε τοῖς Αἰγυπτίοις;
ΚΑΡ. Ερᾷ δὲ Λαῒς οὐ διά σε Φιλωνίδου;
ΧΡ. Ὁ Τιμοθέου δὲ πύργος; ΚΑΡ. Εμπέσοι γέ σοι.
ΧΡ. Τὰ δὲ πράγματ' οὐχὶ διά σε πάντα πράττεται;
Μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος
Καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.
ΚΑΡ. Κρατοῦσι γοῦν κἂν τοῖς πολέμοις ἑκάστοτε,
Εφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνος.
ΠΛ. Εγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;
ΧΡ. Καὶ ναὶ μὰ Δία τούτωνγε πολλῷ πλείονα.
Ως οὐδὲ μεστός σου γέγον' οὐδεὶς πώποτε.
Τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
Ερωτος. ΚΑΡ. Ἄρτων. ΧΡ. Μουσικῆς. ΚΑΡ. Τραγημάτων.
ΧΡ. Τιμῆς. ΚΑΡ. Πλακούντων. ΧΡ. Ανδραγαθίας. ΚΑΡ. Ισχάδων.
ΧΡ. Φιλοτιμίας ΚΑΡ. Μάζης. ΧΡ. Στρατηγίας. ΚΑΡ. Φακῆς.
ΧΡ. Σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
Αλλ' ἢν τάλαντά τις λάβῃ τρισκαίδεκα,
Πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
Κἂν ταῦτ' ἀνύσῃ, τετταράκοντα βούλεται,
Ἤ φησιν, οὐ βιωτὸν αὐτῷ τὸν βίον.
ΠΛ. Εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
Πλὴν ἓν μόνον δέδοικα. ΧΡ. Φράζε τοῦ πέρι.
ΠΛ. Ὅπως ἐγὼ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ

Ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
ΧΡ. Νὴ τὸν Δί'. ἀλλὰ καὶ λέγουσι πάντες, ὡς
Δειλότατον ἐσθ' ὁ Πλοῦτος. ΠΛ. Ἥκιστ', ἀλλά με
Τοιχωρύχος τις διέβαλ'. εἰσδὺς γάρ ποτε,
Οὐκ εἶχεν, εἰς τὴν οἰκίαν, οὐδὲν λαβεῖν,
Εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα.
Εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν, δειλίαν.
ΧΡ. Μὴ νῦν μελέτω σοι μηδέν· ὡς ἐὰν γένῃ
Ανὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
Βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
ΠΛ. Πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι, θνητὸς ὤν;
ΧΡ. Ἔχω τιν' ἀγαθὴν ἐλπίδ', ἐξ ὧν εἶπέ μοι
Ο Φοῖβος αὐτος, Πυθικὴν σείσας δάφνην.
ΠΛ. Κἀκεῖνος οὖν ξύνοιδε ταῦτα; ΧΡ. Φήμ' ἐγώ.
ΠΛ. Ορᾶτε. ΧΡ. Μὴ φρόντιζε μηδὲν, ὦ ἀγαθέ.
Εγὼ γὰρ, εὖ τοῦτ' ἴσθι, κἂν δεῖ μ' ἀποθανεῖν,
Αὐτὸς διαπράξω ταῦτα. ΚΑΡ. Κἂν βούλῃ, γ' ἐγώ,
ΧΡ. Πολλοὶ δ' ἔσονται κ' ἄτεροι νῷν ξύμμαχοι,
Ὅτοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
ΠΛ. Παπαί· πονηρούς γ' εἶπας ἡμῖν ξυμμάχους.
ΧΡ. Οὐκ ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
Ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμών. ΚΑΡ. Τί δρῶ; λέγε.
ΧΡ. Τοὺς ξυγγεώργους κάλεσον (εὑρήσεις δ' ἴσως
Ἐν τοῖσιν ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους)
Οπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν,

Ημῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
ΚΑΡ. Καὶ δὴ βαδίζω. τοῦτο δὲ τὸ κρεάδιον,
Τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
ΧΡ. Εμοὶ μελήσει τοῦτό γ', ἀλλ' ἀνύσας τρέχε.
Σύ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
Εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'. ἡ γὰρ οἰκία
Αὐτή ἐστιν, ἣν δεῖ χρημάτων σε τήμερον
Μεστὴν ποιῆσαι, καὶ δικαίως κἀδίκως.
ΠΛ. Αλλ' ἄχθομαι, μὲν εἰσιὼν, νὴ τοὺς θεοὺς,
Ες οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ·
Αγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
Ην μὲν γὰρ εἰς φειδωλὸν εἰσελθὼν τύχω,
Εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω.
Κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος,
Αἰτῶν λαβεῖν τι μικρὸν ἀργυρίδιον,
Ἔξαρνός ἐστι, μη δ' ἰδεῖν με πώποτε.
Ην δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
Πόρναισι καὶ κύβοισι παραβεβλημένος,
Γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ.
ΧΡ. Μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
Εγὼ δὲ τούτου τοῦ τρόπου πῶς εἰμ' ἀεί·
Χαίρω τε γὰρ φειδόμενος, ὡς οὐδεὶς ἀνήρ·
Πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
Αλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
Καὶ τὴν γυναῖκα, καὶ τὸν υἱὸν τὸν μόνον,
Ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ. ΠΛ. Πείθομαι.
ΧΡ. Τί γὰρ ἄν τις οὐχὶ πρὸς σε τἀληθῆ λέγοι;

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ ΣΚΗΝΗ πρώτη.

Τετράμετροι Ιαμβικοὶ, καταληκτικοί· Δίμετροι, Ἀνακρεόντειοι, καὶ ἄλλοι τινές.

ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

Ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φαγόντες
Ἄνδρες φίλοι, καὶ δημόται, καὶ τοῦ πονεῖν ἐρασταί.
Ἴτ', ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
Ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντας ἀμύνειν.
ΧΟ. Οὐκοῦν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
Ὡς εἰκός ἐστιν, ἀσθενεῖς γέροντας ἄνδρας ἤδη.
Σὺ δ' ἀξιοῖς ἴσως με θεῖν πρὶν ταῦτα καὶ φράσαι μοι,
Ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκεν ἡμᾶς.
ΚΑΡ. Οὐκοῦν πάλαι δήπου λέγω· σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
Ὁ δεσπότης γάρ φησιν, ὑμᾶς ἡδέως ἅπαντας
Ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
ΧΟ. Ἔστιν δὲ δὴ τί; καὶ πόθεν τὸ πρᾶγμα τοῦθ', ὅ φησιν;

ΚΑΡ. Ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πόνηροι,
Ρυπῶντα, κυφὸν, ἄθλιον, ῥυσὸν, μαδῶντα, νωδὸν,
Οἶμαι δὲ νὴ τὸν οὐρανὸν, καὶ ψωλὸν αὐτὸν εἶναι.
ΧΟ. Ω χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; φράσον μοι.
Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
ΚΑΡ. Πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.
ΧΟ. Μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι
Αζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;
ΚΑΡ. Πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
Ηγεῖσθέ μ' εἶναι, κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;
ΧΟ. Ως σεμνὸς οὑπίτριπτος· αἱ κνῆμαι δέ σου βοῶσιν
Ἰοὺ, ἰοὺ, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
ΚΑΡ. Ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,
Σὺ δ' οὐ βαδίζεις· ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.
ΧΟ. Διαῤῥαγείης. ὡς μόθων εἶ, καὶ φύσει κόβαλος,
Ὅστις φενακίζεις· φράσαι δ' οὔπω τέτληκας ἡμῖν,
Ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο·
Οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
Δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.

ΚΑΡ.

ΚΑΡ. Ἀλλ' οὐκ ἔτι ἂν κρύψαιμι. τὸν Πλοῦτον γὰρ, ὦ ἄνδρες, ἥκει
Ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει.
ΧΟ. Ὄντως γάρ ἐστι πλουσίοις ἅπασιν ἡμῖν εἶναι;
ΚΑΡ. Νὴ τοὺς Θεοὺς, Μίδαις μὲν οὖν· ἢν ὦτ' ὄνου λάβητε.
ΧΟ. Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ βούλομαι χορεῦσαι
Ὑφ' ἡδονῆς· εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.
ΚΑΡ. Καὶ μὴν ἐγὼ βουλήσομαι, Θρεττανελὸ, τὸν Κύκλωπα
Μιμούμενος, καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων,
Ὑμᾶς ἄγειν· ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες
Βληχώμενοί τε προβατίων,
Αἰγῶν τε κιναβρώντων μέλη,
Ἕπεσθ' ἀπεψωλημένοι, τράγοι δ' ἀκρατιεῖσθε.
ΧΟ. Ἡμεῖς δέ γ' αὖ ζητήσομεν, Θρεττανελὸ τὸν Κύκλωπα
Βληχώμενοι, σὲ τουτονὶ πινῶντα καταλαβόντες,
Πήραν ἔχοντα, λάχανά τ' ἄγρια δροσερὰ, καὶ κραιπαλῶντα,
Ἡγούμενον τοῖς προβατίοις,
Εἰκῆ δὲ καταδαρθέντα που,
Μέγαν λαβόντες ἡμμένον σφηκίσκον, ἐκτυφλῶσαι.
ΚΑΡ. Ἐγὼ δὲ τὴν Κίρκην γε, τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
Ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ,

Ἔπεισεν, ὡς ὄντας κάπρους,
Μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς,
Μιμήσομαι πάντα τρόπον.
Ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας,
Ἕπεσθε μητρὶ χοῖροι.
ΧΟ. Οὐκ οὖν σε τὴν Κίρκην γε, τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
Καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους,
Λαβόντες ὑπὸ φιληδίας,
Τὸν Λαρτίου μιμούμενοι, τῶν ὄρχεων κρεμῶμεν,
Μινθώσομέν θ', ὥσπερ τράγου,
Τὴν ῥῖνα. σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς,
Ἕπεσθε μητρὶ χοῖροι.
ΚΑΡ. Ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
Ὑμεῖς, ἐπ' ἀλλ' εἶδος τρέπεσθ'. ἐγὼ δ' ἰὼν ἤδη, λάθρα
Βουλήσομαι τοῦ δεσπότου
Λαβών τιν' ἄρτον, καὶ κρέας,
Μασώμενος τὸ λοιπὸν, οὕτω τῷ κόπῳ ξυνεῖναι.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ δευτέρα.

Τρίμετροι Ιαμβικοί.

ΧΡΕΜΥΛΟΣ, ΧΟΡΟΣ.

Χαίρειν μὲν ὑμᾶς ἐστὶν ὦ᾽νδρες δημόται,
Ἀρχαῖον ἤδη προσαγορεύειν, καὶ σαπρόν.
Ἀσπάζομαι δ', ὁτιὴ προθύμως ἥκετε,
Καὶ συντεταγμένως, κ' οὐ κατεβλακευμένως.
Ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
Ἔσεσθε, καὶ σωτῆρες ὄντες τοῦ Θεοῦ.
ΧΟ. Θάρρει. βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη.
Δεινὸν γὰρ εἰ τριωβόλου μὲν εἵνεκα
Ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ ἐκκλησίᾳ·
Αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.
ΧΡ. Καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
Προσιόντα, δῆλος δ' ἐστὶν, ὅτι τοῦ πράγματος
Ἀκήκοέν τι, τῇ βαδίσει καὶ τῷ τάχει.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ τρίτη.

Τρίμετροι Ἰαμβικοί.

ΒΛΕΨΙΔΗΜΟΣ, ΧΡΕΜΥΛΟΣ.

Τί ἂν οὖν τὸ πρᾶγμ' εἴη; πόθεν, καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι·
Καί τοι λόγος γ' ἦν, νὴ τὸν Ἡρακλέα, πολὺς,
Ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
Ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
Ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμαστὸν χ', ὅπως,
Χρησόν τι πράττων, τοὺς φίλους μεταπέμπεται·
Οὔκουν ἐπιχώριόν τι πρᾶγμ' ἐργάζεται.
ΧΡ. Ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ, μὰ τοὺς θεούς.
Ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν·
Ὥστε μετέχειν ἔξεστιν, εἶ γὰρ τῶν φίλων.
ΒΛ. Γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;
ΧΡΕΜ. Ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
Ἔνι γάρ τις ἔνι κίνδυνος ἐν τῷ πράγματι.
ΒΛΕΨ. Ποῖός τις; ΧΡ. Οἷος. ΒΛ. Λέγ' ἀνύσας, ὅ, τι φὴς ποτέ.
ΧΡ. Ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί·
Ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι το παράπαν.
ΒΛ. Τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον·
Καί μ' οὐκ ἀρέσκει. τό, τε γὰρ ἐξαίφνης ἄγαν

Οὕτως ὑπερπλουτεῖν, τό, τ' αὖ δεδοικέναι,
Πρὸς ἀνδρὸς οὐδὲν ὑγιὲς ἐστ' εἰργασμένου.
ΧΡ. Πῶς δ' οὐδὲν ὑγιές; ΒΛΕΨ. Εἴ τι κεκλοφὼς νὴ Δία,
Ἐκεῖθεν ἥκεις, ἀργύριον ἢ χρυσίον
Παρὰ τοῦ θεοῦ· κᾆπειτ' ἴσως σοι μεταμέλει.
ΧΡ. Ἄπολλον ἀποτρόπαιε. μὰ Δί', ἐγὼ μὲν οὔ.
ΒΛ. Παῦσαι φλυαρῶν, ὦ 'γάθ', οἶδα γὰρ σαφῶς.
ΧΡ. Σὺ μηδὲν εἰς ἐμ' ὑπονόει τοιοῦτο. ΒΛ. Φεῦ,
Ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός.
Ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
ΧΡ. Οὔτοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
ΒΛ. Ὡς πολὺ μεθέστηκ', ὧν πρότερον εἶχε, τρόπων.
ΧΡ. Μελαγχολᾷς, ὦ 'νθρωπε, νὴ τὸν οὐρανόν.
ΒΛ. Ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει·
Ἀλλ' ἐστὶν ἐπίδηλόν τι πεπανουργηκότι.
ΧΡΕΜ. Σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος,
Ζητεῖς μεταλαβεῖν. ΒΛΕΨΙΔ. Μεταλαβεῖν ζητῶ; τίνος;
ΧΡ. Τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
ΒΛ. Μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; ΧΡ. Κακοδαιμονᾷς.
ΒΛ. Ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
ΧΡ. Οὐ δῆτ' ἔγωγ'. ΒΛ. Ὦ Ἡράκλεις· φέρε, ποῖ τις ἂν
Τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
ΧΡΕΜΥ. Κατηγορεῖς γάρ, πρὶν μαθεῖν τὸ πρᾶγμά μου.

ΒΛ.

ΒΛ. Ὦ τᾶν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
Ἐθέλω διαπρᾶξαι, πρὶν πυθέσθαι τὴν πόλιν,
Τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
ΧΡ. Καὶ μὴν φίλος γ' ἄν μοι δοκῇς, νὴ τοὺς θεούς,
Τρεῖς μνᾶς ἀναλώσας γε λογίσασθαι δώδεκα.
ΒΛ. Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
Ἱκετηρίαν ἔχοντα, μετὰ τῶν παιδίων,
Καὶ τῆς γυναικός κ' οὐ διοίσοντ' ἄντικρυς
Τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν, τῶν Παμφίλου.
ΧΡΕΜ. Οὔκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
Ἔγωγε, καὶ τοὺς δεξιοὺς, καὶ σώφρονας
Ἀπαρτὶ πλουτῆσαι ποιήσω. ΒΛΕΨΙΔ. Τί σὺ λέγεις;
Οὕτω πάνυ πολλὰ κέκλοφας; ΧΡΕΜ. Οἴμοι τῶν κακῶν,
Ἀπολεῖς. ΒΛΕΨΙΔ. Σὺ μὲν οὖν σεαυτὸν, ὥς γ' ἐμοὶ δοκεῖς.
ΧΡ. Οὐ δῆτ'. ἐπεὶ τὸν Πλοῦτον, ὦ μόχθηρε σὺ,
Ἔχω. ΒΛ. Σὺ Πλοῦτον; ΧΡ. Αὐτὸν τὸν θεόν.
ΒΛ. Καὶ ποῦ 'στιν; ΧΡ. Ἔνδον. ΒΛ. Ποῦ; ΧΡ. Παρ' ἐμοί. ΒΛ. Παρὰ σοί; ΧΡ. Πάνυ.
ΒΛ. Οὐκ ἐς κόρακας, Πλοῦτος παρὰ σοί; ΧΡ. Νὴ τοὺς θεούς.
ΒΛ. Λέγεις ἀληθῆ; ΧΡ. Φημί. ΒΛ. Πρὸς τῆς Ἑστίας;
ΧΡ. Νὴ τὸν Ποσειδῶ. ΒΛ. Τὸν θαλάσσιον λέγεις;
ΧΡ. Εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
ΒΛ. Εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;

ΧΡ. Οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ. ΒΛ. Τί φής;
Οὐ τῷ μεταδοῦναι; ΧΡ. Μὰ Δία, δεῖ γὰρ πρῶτα
ΒΛ. τί;
ΧΡ. Βλέψαι ποιῆσαι νῷ. ΒΛ. Τίνα βλέψαι; φράσον.
ΧΡΕΜ. Τὸν Πλοῦτον ὥσπερ τὸ πρότερον, ἑνί γε τῷ τρόπῳ.
ΒΛ. Τυφλὸς γὰρ ὄντως ἐστί; ΧΡ. Νὴ τὸν οὐρανόν.
ΒΛ. Οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδὲ πώποτε,
ΧΡ. Ἀλλ', ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
ΒΛ. Οὐκ οὖν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινα;
ΧΡ. Τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
Οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ', οὔθ' ἡ τέχνη.
ΒΛ. Σκοπῶμεν. ΧΡ. Ἀλλ' οὐκ ἔστιν. ΒΛ. Οὐδ' ἐμοὶ δοκεῖ.
ΧΡ. Μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
Ἐγὼ, κατακλινεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ
Κράτιστόν ἐστι. ΒΛ. Πολὺ μὲν οὖν, νὴ τοὺς θεούς.
Μὴ νῦν διάτριβε· ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
ΧΡ. Καὶ δὴ βαδίζω. ΒΛ. Σπεῦδέ νυν. ΧΡ. Τοῦτ' αὐτὸ δρῶ.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ τετάρτη.

Τρίμετροι Ἰαμβικοί.

ΠΕΝΙΑ, ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ.

Ὦ Θερμὸν ἔργον, κἀνόσιον, καὶ παράνομον,
Τολμῶν, τε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε.
Ποῖ ποῖ; τί φεύγετον; οὐ μενεῖτον; ΧΡ. Ἡράκλεις.
ΗΕ. Ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς.
Τόλμημα γὰρ τολμᾶτον, οὐκ ἀνασχετόν,
Ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε,
Οὔτε θεὸς, οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.
ΧΡ. Σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.
ΒΛ. Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας·
Βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν·
ΧΡ. Ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας. ΒΛ. Οὐκοῦν κλαύσεται.
ΗΕ. Οἴεσθε δ' εἶναι τίνα με; ΧΡΕΜ. Πανδοκεύτριαν,
Ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
Ἐνεκράγετες ἡμῖν, οὐδὲν ἠδικημένη.
ΠΕ. Ἀληθές· οὐ γὰρ δεινότατα δεδράκατον,

Ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
ΧΡ. Οὐκοῦν ἀπόλοιπόν σοι τὸ βάραθρον γίνεται.
Ἀλλ᾽ ἥ τις εἶ, λέγειν ἐχρῆν σ᾽ αὐτίκα μάλα.
ΠΕ. Ἣ σφὼ ποιήσω τήμερον δοῦναι δίκην,
Ἀνθ᾽ ὧν ἐμὲ ζητεῖτον ἐνθένδ᾽ ἀφανίσαι.
ΒΛ. Ἆρ᾽ ἐστὶν ἡ καπηλὶς, ἡ ᾽κ τῶν γειτόνων,
Ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;
ΠΕ. Πενία μὲν οὖν, ἣ σφῷν ξυνοικῶ πόλλ᾽ ἔτη.
ΒΛ. Ἄναξ Ἄπολλον, καὶ θεοί· ποῖ τις φύγοι;
ΧΡ. Οὗτος, τί δρᾷς, ὦ δειλότατον σὺ θηρίον, Οὐ παραμενεῖς;
ΒΛ. Ἥκιστα πάντων. ΧΡ. Οὐ μενεῖς;
Ἀλλ᾽ ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
ΒΛ. Πενία γάρ ἐστιν, ὦ πόνηρ᾽. ἧς οὐδαμοῦ
Οὐδὲν πέφυκε ζῶον ἐξωλέστερον.
ΧΡ. Στῆθ᾽, ἀντιβολῶ σε, στῆθι. ΒΛ. Μὰ Δί᾽, ἐγὼ μὲν οὔ.
ΧΡ. Καὶ μὴν λέγω, δεινότατον ἔργον παραπολὺ
Ἔργων ἁπάντων ἐργασόμεθ᾽, εἰ τὸν θεὸν
Ἔρημον ἀπολιπόντε ποι φευξούμεθα,
Τηνδὶ δεδιότε, μηδὲ διαμαχούμεθα.
ΒΛ. Ποιοίσιν ὅπλοις, ἢ δυνάμει πεποιθότε;
Ποῖον γὰρ οὐ θώρακα, ποίαν ἀσπίδα,
Οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
ΧΡ. Θάρρει. μόνος γὰρ οὗτος, οἶδ᾽, ὁ θεὸς, ὅτι
Τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.
ΠΕ. Γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
Ἐπ᾽ αὐτοφώρῳ δεινὰ δρῶντ᾽ εἰλημμένω;

ΧΡ. Σὺ δ', ὦ κάκισ' ἀπολουμένη, τί λοιδορεῖ
Ἡμῖν προσελθοῦσ', οὐδ' ὁτιοῦν ἀδικουμένη;
ΠΕ. Οὐδὲν γάρ, ὦ πρὸς τῶν θεῶν, νομίζετον
Ἀδικεῖν με, τὸν Πλοῦτον ποιεῖν πειρωμένω
Βλέψαι πάλιν; ΧΡ. Τί οὖν ἀδικοῦμεν τοῦτό σε,
Εἰ πᾶσιν ἀνθρώποις πορίζομεν ἀγαθόν;
ΠΕ. Τί δ' ἂν γ' ὑμεῖς ἀγαθὸν ἐξεύροιθ'; ΧΡ. Ὅ, τι;
Σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
ΠΕ. Ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
Κακὸν ἐργάζεσθαι μεῖζον ἀνθρώπους; ΧΡ. Ὅ, τι;
Εἰ τοῦτο δρᾶν μέλλοντες, ἐπιλαθοίμεθα.
ΠΕ. Καὶ μὴν περὶ τούτου σφῶν ἐθέλω δοῦναι λόγον
Τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω, μόνην
Ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
Ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς. εἰ δὲ μή,
Ποιεῖτον ἤδη τοῦθ', ὅ, τι γ' ἂν ὑμῖν δοκῇ.
ΧΡ. Ταυτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
ΠΕ. Καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
Ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ·
Εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.
ΒΛ. Ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;
ΠΕ. Οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν, πρὶν ἂν μάθῃς.
ΒΛ. Καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν, ἰοὺ, ἰοὺ,
Τοιαῦτ' ἀκούων; ΠΕ. Ὅστις ἐστὶν εὖ φρονῶν.
ΧΡ. Τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
Ἐάν γ' ἁλῷς; ΠΕ. Ὅ, τι σοι δοκεῖ. ΒΛ. Καλῶς λέγεις.

ΠΕ. Τὸ γὰρ αὐτό γ' ἂν ἤπλαθε καὶ σφῷ δεῖ παθεῖν.
ΒΛ. Ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
ΧΡ. Ταύτηγε. νῷν δ' ἂν δύ' ἀποχρήσουσιν μόνω.
ΠΕ. Οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ'. ἢ τί γ' ἂν
Ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ πέμπτη.

Τετράμετροι Καταληκτικοὶ, Ἀναπαιστικοὶ, Ἀριστοφάνειοι.

ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ, ΠΕΝΙΑ.

Ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν, ᾧ νικήσετε τηνδὶ,
Ἐν τοῖσι λόγοις ἀντιλέγοντες. μαλακὸν δ' ἐνδώσετε μηδέν.
ΧΡ. Φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
Ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν, ἔστι δίκαιον·
Τοὺς δὲ πονηροὺς, καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
Τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥστε γενέσθαι,

Βού-

Βούλημα καλὸν, καὶ γενναῖον, καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
Ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
Ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται, κοὐκ ἀπολείψει.
Τοὺς δὲ πονηροὺς, καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποιήσει
Πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου, τά τε θεῖα σέβοντας.
Καί τοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι πότ' ἄμεινον;
ΒΛΕ. Οὔτις ἂν, ἐγώ σοι τούτου μάρτυς· μηδὲν ταύτην γ' ἀνερώτα.
ΧΡ. Ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
Τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον;
Πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροὶ,
Ἀδίκως αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ,
Πράττουσι κακῶς καὶ πεινῶσιν. μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.
Οὐκοῦν εἶναί φημ', ἡ παύσει ταῦτ', ἢν βλέψῃ ποθ' ὁ Πλοῦτος,
Ὁδὸν, ἥν τιν' ἰὼν, τοῖς ἀνθρώποις ἀγαθ' ἂν μείζω πορίσειεν.
ΠΕ. Ἀλλ', ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ ὑγιαίνειν,
Δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν.

Εἰ ταῦτα γένοιθ', ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν.
Εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν, διανείμειέ τ' ἴσον ἑαυτὸν,
Οὔτε τέχνην ἂν τῶν ἀνθρώπων, οὔτε σοφίαν μελετῴη
Οὐδεὶς· ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν, ἐθελήσει
Τίς χαλκεύειν, ἢ ναυπηγεῖν, ἢ ῥάπτειν, ἢ τροχοποιεῖν,
Ἢ σκυτοτομεῖν, ἢ πλινθουργεῖν, ἢ πλύνειν, ἢ σκυτοδεψεῖν,
Ἢ γῆς ἀρότροις ῥήξας δάπεδον, καρπὸν Δηοῦς θερίσασθαι;
Ἢ ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;
ΧΡ Λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νυνὶ κατέλεξας,
Οἱ θεράποντες μοχθήσουσι. ΠΕ. Πόθεν οὖν ἕξεις θεράποντας;
ΧΡ. Ὠνησόμεθ' ἀργυρίου δήπου. ΠΕ. Τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
Ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ; ΧΡ. Κερδαίνειν βουλόμενός τις
Ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν.
ΠΕ. Ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀνδραποδιστὴς,
Κατὰ τὸν λόγον, ὃν σὺ λέγεις, δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει
Κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὐτοῦ, τοῦτο ποιῆσαι;

Ὥστ' αὐτὸς ἐρῶν ἐπαναγκασθεὶς, καὶ σκάπτειν, τ' ἄλλα τε μοχθεῖν,
Ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν. ΧΡ. Ἐς κεφαλήν σοι.
ΠΕ. Ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται·
Οὔτ' ἐν τάπησιν· τίς γὰρ ὑφαίνειν ἐθελήσει, χρυσίου γ' ὄντος;
Οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον·
Οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
Καί τοι τί πλέον πλουτεῖν ἐστι, πάντων τούτων ἀποροῦντας;
Παρ' ἐμοῦ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν, ὧν δεῖσθον· ἐγὼ γὰρ
Τὸν χειροτέχνην, ὥσπερ δέσποιν', ἐπαναγκάζουσα κάθημαι,
Διὰ τὴν χρείαν, καὶ τὴν πενίαν, ζητεῖν ὁπόθεν βίον ἕξει.
ΧΡ. Σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθὸν, πλὴν φῴδων ἐκ βαλανείου,
Καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτὸν,
Φθειρῶν τ' ἀριθμὸν, καὶ κωνώπων καὶ ψυλλῶν (οὐδὲ λέγω σοι
Ὑπὸ τοῦ πλήθους) αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
Ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις· ἀλλ' ἐπανίστω.
Πρὸς δέ γε τούτοις, ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος· ἀντὶ δὲ κλίνης

d 3 Στι-

Στιβάδα σχοίνων, κόρεων μεστὴν, ἣ τοὺς εὕδοντας ἐγείρει.
Καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ προσκεφαλαίου
Λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ. σιτεῖσθαι δ' ἀντὶ μὲν ἄρτων
Μαλάχης πτόρθους· ἀντὶ δὲ μάζης, φυλλεῖ' ἰσχνῶν ῥαφανίδων·
Ἀντὶ δὲ θράνους, στάμνου κεφαλὴν κατεαγότος· ἀντὶ δὲ μάκτρας,
Πιθάκνης πλευρὰν, ἐῤῥωγυῖαν καὶ ταύτην; ἆρά γε πολλῶν
Ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἰτίαν οὖσαν;
ΠΕ. Σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν δὲ πτωχῶν ὑπεκρούσω.
ΧΡ. Οὔκουν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν;
ΠΕ. Ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.
Ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος· οὐ μὰ Δί'. οὐδέ γε μέλλει.
Πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
Τοῦ δὲ πένητος, ζῆν φειδόμενον, καὶ τοῖς ἔργοις προσέχοντα·
Περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέντοι μηδ' ἐπιλείπειν.
ΧΡ. Ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας·
Εἰ φεισάμενος καὶ μοχθήσας, καταλείψει μηδὲ ταφῆναι.

ΠΕ.

ΠΕ. Σκώπτειν πειρᾷ, καὶ κωμῳδεῖν, τοῦ σπουδάζειν ἀμελήσας·
Οὐ γινώσκων, ὅτι τοῦ Πλούτου παρέχω βελτίονας ἄνδρας
Καὶ τὴν γνώμην, καὶ τὴν ἰδέαν: παρὰ τῷ μὲν γὰρ ποδαγρῶντες,
Καὶ γαστρώδεις, καὶ παχύκνημοι, καὶ πίονές εἰσιν ἀσελγῶς·
Παρ' ἐμοὶ δ' ἰσχνοὶ, καὶ σφηκώδεις, καὶ τοῖς ἐχθροῖς ἀνιαροί.
ΧΡ. Ὑπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.
ΠΕ. Περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν, κἀναδιδάξω
Ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ· τοῦ Πλούτου δ' ἔστιν ὑβρίζειν.
ΧΡ. Πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν, καὶ τοὺς τοίχους διορύττειν;
ΒΛ. Νὴ τὸν Δί', εἴ γε δεῖ λαθεῖν αὐτὸν, πῶς οὐχὶ κόσμιόν ἐστι
ΠΕ. Σκέψαι τοίνυν γ' ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας· ὡς ὁπόταν μὲν
Ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι·
Πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν, παραχρῆμ' ἄδικοι γεγένηνται.
Ἐπιβουλεύουσί τε τῷ πλήθει, καὶ τῷ δήμῳ πολεμοῦσιν.
ΧΡ. Ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδὲν, καίπερ σφόδρα βάσκανος οὖσα.
Ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει, μηδὲν ταύτῃ γε κομήσῃς,

Ὅτι

Ὅτι γε ζητεῖς τοῦτ' ἀναπείθειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
Πενία πλούτου. ΠΕ. Καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου,
Ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. ΧΡ. καὶ πῶς φεύγουσί σ' ἅπαντες;
ΠΕΝΙΑ. Ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
Ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα
Αὐτοῖς· οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.
ΧΡ. Τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον;
Κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει· ταύτην δ' ἡμῖν ἀποπέμπει.
ΠΕ. Ἀλλ' ὦ Κρονικαῖς γνώμαις ὄντως λημῶντες τάς γε τὰς φρένας ἄμφω.
Ὁ Ζεὺς δήπου πένεται· καὶ τοῦτό γε δὴ φανερῶς σε διδάξω.
Εἰ γὰρ ἐπλούτει, πῶς ποιῶν αὐτὸς τὸν Ὀλυμπικὸν ἀγῶνα,
Ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,
Ἀνεκήρυττεν τῶν ἀθλητῶν τοὺς νικῶντας, στεφανώσας
Κοτίνου στεφάνῳ; καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴ περ ἐπλούτει.
ΧΡ. Οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος.
Φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,

Λήροις

Λήροις ἀναδῶν τοὺς νικῶντας, τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.
ΠΕ. Πολὺ τῆς Πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι,
Εἰ πλούσιος ὢν, ἀνελεύθερος ἐσθ' οὑτωσὶ, καὶ φιλοκερδής.
ΧΡ. Ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειεν, κοτίνου στεφάνῳ στεφανώσας.
ΠΕ. Τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς, ὡς οὐ πάντ' ἐστ' ἀγάθ' ὑμῖν
Διὰ τὴν πενίαν. ΧΡ. Παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι,
Εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὐτὴ,
Τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας, δεῖπνον κατὰ μῆνα προπέμπειν·
Τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι·
Ἀλλὰ φθείρου καὶ μὴ γρύξῃς
Ἔτι μηδ' ὁτιοῦν·
Οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.
ΠΕ. Ὦ πόλις Ἄργους, κλύεθ', οἷα λέγει.
ΧΡ. Παύσωνα κάλει τὸν ξύσσιτον.
ΠΕ. Τί πάθω τλήμων;
ΧΡ. Ἔῤῥ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.
ΠΕ. Εἶμι δὲ ποῖ γῆς;
ΧΡ. Ἐς τὸν κύφων'· ἀλλ' οὐ μέλλειν
Χρή σ', ἀλλ' ἀνύειν.
ΠΕ. Ἦ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθοῖ
Μεταπέμψεσθον.
ΧΡ. Τότε νοστήσεις. νῦν δὲ φθείρου.
Κρεῖττον γάρ μοι πλουτεῖν ἐστιν·

Σὲ δ' ἐὰν κλάειν μακρὰ τὴν κεφαλήν.
ΒΛ. Νὴ Δί', ἔγωγ' οὖν ἐθέλω πλουτῶν
Εὐωχεῖσθαι μετὰ τῶν παίδων,
Τῆς τε γυναικὸς· καὶ λουσάμενος
Λιπαρὸς χωρῶν ἐκ βαλανείου,
Τῶν χειροτεχνῶν,
Καὶ τῆς πενίας καταπαρδεῖν.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ ἑκτή.

Τρίμετροι ἰαμβικοί.

ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ.

Αὕτη μὲν ἡμῖν ἡ 'πίτριπτος οἴχεται.
Ἐγὼ δὲ, καὶ σύ γ', ὡς τάχιστα τὸν θεὸν
Ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.
ΒΛ. Καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τὶς αὖ
Ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.
ΧΡ. Ὦ παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν ἐχρῆν·
Αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
Καὶ τἆλλ', ὅσ' ἐστὶν ἔνδον ηὐτρεπισμένα.

ΧΟΡΟΥ.

ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ

Σκηνὴ πρώτη.

Τοῦ αὐτοῦ γένους μέλη, μέχρι τοῦ τέλους.

ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

Ω Πλεῖστα Θησείοις μεμιστυλημένοι,
Γέροντες ἄνδρες, ἐπ' ὀλιγίστοις ἀλφίτοις,
Ὡς εὐτυχεῖθ'. ὡς μακαρίως πεπράγατε,
Ἄλλοι θ', ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου!
ΧΟ. Τί δ' ἐστιν, ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
Φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.
ΚΑ. Ο δεσπότης πέπραγεν εὐτυχέστατα,
Μᾶλλον δ' ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ,
Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών·
ΧΟ. Λέγεις μοι χαράν· λέγεις μοι βοάν.
ΚΑ. Πάρεστι χαίρειν, ἤν τε βούλησθ', ἤν τε μή.
ΧΟ. Ἀναβοάσομαι τὸν εὔπαιδα, καὶ
Μέγα βροτοῖσι φάνος, Ἀσκληπιόν.

ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ

Σκηνὴ δευτέρα.

ΓΥΝΗ, ΚΑΡΙΩΝ.

Τίς ἡ βοή ποτ' ἐςίν; ἆρα γ' ἀγγελεῖ
Χρηςόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι,
Ενδον κάθημαι περιμένουσα τουτονί.
ΚΑ. Ταχέως, ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
Καὐτὴ πίῃς· φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα.
Ως ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
ΓΥ. Καὶ ποῦ 'ςιν; ΚΑΡ. Ἐν τοῖς λεγομένοις εἴσῃ τάχα.
ΓΥ. Πέραινε τοίνυν, ὅ, τι λέγῃς ἀνύσας ποτέ.
ΚΑΡ. Ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
Ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
ΓΥ. Μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. ΚΑΡ. Μὴ τἀγαθὰ,
Ἃ νῦν γεγένηται; ΓΥ. Μὴ μὲν οὖν τὰ πράγματα.
ΚΑ. Ως γὰρ τάχις' ἀφικόμεθα πρὸς τὸν θεὸν,
Ἄγοντες ἄνδρα, τότε μὲν ἀθλιώτατον,
Νῦν δ', εἴ τιν' ἄλλον, μακάριον κ' εὐδαίμονα·
Πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν·
Επειτ' ἐλοῦμεν. ΓΥ. Νὴ Δί' εὐδαίμων ἄρ' ἦν
Ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.

ΚΑΡ.

ΚΑΡ. Ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ.
Ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
Καθωσιώθη, πέλανος Ἡφαίστου φλογί·
Κατεκλίνομεν τὸν Πλοῦτον ὥσπερ εἰκὸς ἦν·
Ἡμῶν δ᾽ ἕκαστος στιβάδα παρεκαττύετο.
ΓΥ. Ἦσαν δέ τινες κ᾽ ἄλλοι δεόμενοι τοῦ θεοῦ;
ΚΑΡ. Εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός,
Κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισεν.
Ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
Ἔχοντες· ὡς δὲ τοὺς λύχνους ἀποσβέσας,
Ἡμῖν παρήγγειλεν καθεύδειν τοῦ θεοῦ
Ὁ πρόπολος, εἰπὼν ἤν τις αἴσθηται ψόφου,
Σιγᾶν· ἅπαντες κοσμίως κατεκείμεθα.
Κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην· ἀλλά με
Ἀθάρης χύτρα τις ἐξέπληττε, κειμένη
Ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γρᾳδίου,
Ἐφ᾽ ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι·
Ἔπειτ᾽ ἀναβλέψας ὁρῶ τὸν ἱερέα
Τοὺς φθοῖς ἀφαρπάζοντα, καὶ τὰς ἰσχάδας,
Ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς· μετὰ τοῦτο δὲ
Περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
Εἴπου πόπανον εἴη τι καταλελειμμένον·
Ἔπειτα ταῦθ᾽ ἥγιζεν εἰς σάκταν τινά.
Κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος,
Ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.
ΓΥ. Ταλάντατ᾽ ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;
ΚΑΡ. Νὴ τοὺς θεοὺς ἔγωγε, μὴ φθάσειέ με,
Ἐπὶ τὴν χύτραν ἐλθὼν, ἔχων τὰ στέμματα.
Ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
Τὸ γρᾴδιον δ᾽, ὡς ᾔσθετό μου τὸν ψόφον,
Τὴν χεῖρ᾽ ὑφῄρει· κᾆτα συρίξας ἐγὼ,

Καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
Σκορόδων κεφαλὰς τρεῖς Τηνίων· ἔπειτ' ἔφλα
Εν τῇ θυείᾳ συμπαραμιγνύων ὀπόν,
Καὶ σχῖνον· εἶτ' ὄξει διέμενος Σφηττίῳ,
Κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας, ἵνα
Ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν,
Εφευγ' ἀναΐξας. ὁ δὲ θεὸς γελάσας ἔφη·
Ἐνταῦθά νῦν κάθησο καταπεπλασμένος,
Ἱν' ἐπομνύμενον παύσω σε τῆς ἐκκλησίας.
ΓΥΝΗ. Ὡς φιλόπολίς τις ἔσθ' ὁ δαίμων καὶ σοφός!
ΚΑΡ. Μετὰ τοῦτο, τῷ Πλούτωνι παρεκαθέζετο.
Καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο.
Επειτα καθαρὸν ἡμιτύβιον λαβὼν,
Τὰ βλέφαρα περιέψησεν. ἡ Πανάκεια δὲ
Κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι,
Καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
Εξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ,
Ὑπερφυεῖς τὸ μέγεθος. ΓΥ. ὦ φίλοι θεοί!
ΚΑΡ. Τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῆ,
Τὰ βλέφαρα περιέλειχον, ὥς γέ μοι δοκεῖν.
Καὶ πρὶν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα,
Ο Πλοῦτος, ὦ δέσποιν', ἀνεστήκει βλέπων.
Εγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
Τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως
Ηφάνισεν αὐτὸν, οἵ τ' ὄφεις, εἰς τὸν νεών.
Οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ, πῶς δοκεῖς,
Τὸν Πλοῦτον ἠσπάζοντο, καὶ τὴν νύχθ' ὅλην
Εγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
Εγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα,
Ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχὺ,

Τὸν

Τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησε τυφλόν.
ΓΥΝΗ. Ὅσην ἔχεις τὴν δύναμιν, ὦ 'ναξ δέσποτα!
Ἀτὰρ φράσον μοι, ποῦ 'σθ' ὁ Πλοῦτος; ΚΑΡ.
Ἔρχεται.
Ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
Οἱ γὰρ δίκαιοι πρότερον ὄντες, καὶ βίον
Ἔχοντες ὀλίγον, αὐτὸν ἠσπάζοντο, καὶ
Ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς.
Ὅσοι δ' ἐπλούτουν, οὐσίαν τ' εἶχον συχνὴν,
Οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
Ὀφρῦς συνῆγον, ἐσκυθρώπαζόν θ' ἅμα.
Οἱ δ' ἠκολούθουν κατόπιν, ἐστεφανωμένοι,
Γελῶντες, εὐφημοῦντες. ἐκτυπεῖτο δὲ
Ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
Ἀλλ' εἰ ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
Ὀρχεῖσθε, καὶ σκιρτᾶτε, καὶ χορεύετε.
Οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ,
Ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
ΓΥΝΗ. Νὴ τὴν Ἑκάτην, κἀγώ γ' ἀναδῆσαι
βούλομαι
Εὐαγγέλιά σ' ἐν κριβανωτῶν ὁρμαθῷ
Τοιαῦτ' ἀπαγγείλαντα. ΚΑΡ. μή νυν μέλλ' ἔτι.
Ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
ΓΥ. Φέρε νῦν ἰοῦσ' εἴσω, κομίσω καταχύσματα,
Ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.
ΚΑΡ. Ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.

ΚΟΜΜΑΤΙΟΝ, ΧΟΡΟΥ.

ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ

Σκηνὴ τρίτη.

Τρίμετροι Ιαμβικοί.

ΠΛΟΥΤΟΣ, ΧΡΕΜΥΛΟΣ, ΓΥΝΗ.

ΚΑὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
Ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
Χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.
Αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφορὰς,
Οἵοις ἄρ' ἀνθρώποις ξυνὼν, ἐλάνθανον·
Τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
Ἔφευγον, εἰδὼς οὐδὲν ὁ τλήμων ἐγώ.
Ὡς οὐδ' ἐκεῖν' ἄρ' οὐδὲ ταῦτ' ὀρθῶς ἔδρων;
Ἀλλ' αὐτὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ,
Δείξω τολοιπὸν πᾶσιν ἀνθρώποις, ὅτι
Ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐνεδίδουν.
ΧΡΕΜΥΛΟΣ. Βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι
Οἱ φαινόμενοι παραχρῆμ', ὅταν πράττῃ τις εὖ.
Νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,
Ἐνδεικνύμενοι ἕκαστος εὔνοιάν τινα.
Ἐμὲ γάρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
Περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;

ΓΥ. Ω φίλτατ' ἀνδρῶν, καὶ σὺ χαίρετε.
Φέρε νῦν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
Ταυτὶ καταχέω σου λαβοῦσα. ΠΛ. Μηδαμῶς·
Ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
Πρώτιστα, καὶ βλέψαντος, οὐδὲν ἐκφέρειν
Πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.
ΓΥ. Εἶτ' οὐχὶ δέξῃ ταῦτα τὰ καταχύσματα;
ΠΛ. Ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος.
Ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
Οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ,
Ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
Προβαλόντ', ἐπὶ τούτοισιν ἐπαναγκάζειν γελᾶν.
ΓΥ. Εὖ πάνυ λέγεις, ὡς ὅ γε ξένικος οὑτοσὶ,
Ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.

ΧΟΡΟΥ.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ πρώτη.

Τρίμετροι Ιαμβικοί.

ΚΑΡΙΩΝ.

Ὡς ἡδὺ πράττειν ὦ ἄνδρες ἐστ' εὐδαιμόνως,
Καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν!

Ἡμῖν

Ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
Ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
Οὕτω τὸ πλουτεῖν ἐστὶν ἡδὺ πρᾶγμά τι.
Ἡ μὲν σιπύη μεστή 'στι λευκῶν ἀλφίτων·
Οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου.
Ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
Τὰ σκευάρια πλήρη 'στὶν, ὥστε θαυμάσαι.
Τὸ φρέαρ δ' ἐλαίου μεστόν. αἱ δὲ λήκυθοι
Μύρου γέμουσι. τὸ δ' ὑπερῷον, ἰσχάδων.
Ὀξὶς δὲ πᾶσα, καὶ λοπάδιον, καὶ χύτρα,
Χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς,
Τοὺς ἰχθυηροὺς, ἀργυροῦς πάρεσθ' ὁρᾶν.
Ὁ δ' ἰπνὸς ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
Χρυσοῖς. ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
Ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
Καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
Ὗν, καὶ τράγον, καὶ κριὸν ἐστεφανωμένος·
Ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός· οὐχ οἷός τε γὰρ
Ἔνδον μένειν ἦν· ἔδακνε γὰρ τὰ βλέφαρά μου.

ΔΡΑΜΑΤΟΣ, ΤΕΤΑΡΤΟΥ

Σκηνὴ δεύτερα.

ΔΙΚΑΙΟΣ, ΚΑΡΙΩΝ.

ΔΙ. Ἔπου μετ' ἐμοῦ παιδάριον, ἵνα πρὸς τὸν θεὸν
Ἴωμεν. ΚΑΡ. Ἔα, τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;
ΔΙ. Ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
ΚΑΡ. Δῆλον, ὅτι τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.
ΔΙ. Μάλιστ'. ΚΑΡ. Ἔπειτα τοῦ δέῃ; ΔΙ. Πρὸς τὸν θεὸν
Ἥκω. μεγάλων γάρ μου 'στὶν ἀγαθῶν αἴτιος.
Ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
Λαβὼν, ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
Εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
ΚΑΡ. Ἦπου σε ταχέως ἀπέλιπε τὰ χρήματα;
ΔΙΚ. Κομιδῇ μὲν οὖν. ΚΑΡ. Οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος;
ΔΙΚ. Κομιδῇ μὲν οὖν· κἀγὼ ᾤμην, οὓς τέως
Εὐηργέτησα δεομένους, ἕξειν φίλους
Ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
Οἱ δ' ἐξετρέποντο, κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
ΚΑΡ. Καὶ κατεγέλων γ', εὖ οἶδ' ὅτι. ΔΙΚ. κομιδῇ μὲν οὖν.
Αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων, μ' ἀπώλεσεν.
ΚΑΡ. Ἀλλ' οὐχὶ νῦν. ΔΙΚ. Ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν

Προσ-

Προσδεξόμενος ἥκω δικαίως ἐνθάδε.
ΚΑΡ. Τὸ τριβώνιον δὲ, τί δύναται πρὸς τῶν θεῶν,
Ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
ΔΙΚ. Καὶ τοῦτ᾽ ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.
ΚΑΡΙΩΝ. Μῶν οὖν ἐμυήθης δῆτ᾽ ἐν αὐτῷ τὰ μεγάλα;
ΔΙΚ. Οὐκ᾽ ἀλλ᾽ ἐνερρίγωσ᾽ ἔτη τρισκαίδεκα.
ΚΑΡΙΩΝ. Τὰ δ᾽ ἐμβάδια; ΔΙΚ. Καὶ ταῦτα συνεχειμάζετο.
ΚΑΡ. Καὶ ταῦτ᾽ ἀναθήσων ἔφερες οὖν; ΔΙΚ. Νὴ τὸν Δία.
ΚΑΡ. Χαρίεντά γ᾽ ἥκεις δῶρα τῷ θεῷ φέρων.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ τρίτη.

ΣΥΚΟΦΑΝΤΗΣ, ΚΑΡΙΩΝ, ΔΙΚΑΙΟΣ.

Οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος!
Καὶ τρισκακοδαίμων, καὶ τετράκις, καὶ πεντάκις,
Καὶ δωδεκάκις, καὶ μυριάκις, ἰοὺ, ἰοὺ!
Οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι!
ΚΑΡ. Ἄπολλον ἀποτρόπαιε, καὶ θεοὶ φίλοι,
Τί ποτ᾽ ἐστὶν ὅ, τι πέπονθεν ἄνθρωπος κακόν;

ΣΥ. Οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
Ἀπολωλεκὼς ἅπαντα τὰκ τῆς οἰκίας
Διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
Πάλιν αὖθις, ἤνπερ μὴ λίπωσιν αἱ δίκαι;
ΔΙΚ. Ἐγὼ σχεδὸν τὸ πρᾶγμα γινώσκειν δοκῶ.
Προσέρχεται γάρ τις κακῶς πράττων ἀνὴρ,
Ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
ΚΑΡ. Νὴ Δία καλῶς τοίνυν ποιῶν, ἀπόλλυται.
ΣΥ. Ποῦ, ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
Ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
Εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; ὁ δὲ
Πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
ΚΑΡ. Καὶ τίνα δέδρακε δῆτα ταῦτ'; ΣΥΚΟ. Ἐμὲ τουτονί.
ΚΑΡ. Ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων.
ΣΥ. Μὰ Δί', οὐ μὲν οὖν ἔσθ' ὑγιὲς ὑμῶν οὐδενός,
Κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
ΚΑΡ. Ὡς σοβαρὸς, ὦ Δάματερ, εἰσελήλυθεν
Ὁ συκοφάντης; ΔΙΚ. Δῆλον ὅτι βουλιμιᾷ.
ΣΥ. Σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως, οὐκ ἂν φθάνοις.
Ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
Εἰπεῖν ἃ πεπανούργηκας. ΚΑΡ. Οἰμώζ' ἄρα σύ.
ΔΙΚ. Νὴ τὸν Δία τὸν Σωτῆρα, πολλοῦ γ' ἄξιος
Ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς ἔσθ', ὅτι
Τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
ΣΥ. Οἴμοι τάλας! μῶν καὶ σὺ μετέχων καταγελᾷς;
Ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
Ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.
ΔΙΚ. Οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος

Τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου, δραχμῆς.
ΚΑΡ. Ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος.
ΣΥ. Ἆρ' οὐχ ὕβρεις πολλὴ ταῦτ' ἐστί; σκώπτετον,
Ὅ, τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον·
Οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
ΚΑΡ. Μὰ τὸν Δί', οὔκουν τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.
ΣΥ. Ἀπὸ τῶν ἐμῶν γὰρ, ναὶ μὰ Δία, δειπνήσετον.
ΔΙΚ. Ὡς δὴ π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
Διαῤῥαγείης, μηδενὸς ἐμπεπλησμένος.
ΣΥ. Ἀρνεῖσθον; ἔνδον ἐστὶν ὦ μιαρωτάτω,
Πολὺ χρῆμα τεμαχῶν, καὶ κρεῶν ὠπτημένων.
Ὑ ὖ. ὖ ὖ. ὖ ὖ. ὖ ὖ. ὖ ὖ. ὖ ὖ.
ΚΑΡ. Κακόδαιμον, ὀσφραίνῃ τί; ΔΙΚ. Τοῦ ψύχους γ' ἴσως,
Ἐπεὶ τοιοῦτον ἀμπέχεται τριβώνιον.
ΣΥ. Ταῦτ' οὖν ἀνάσχετ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοί,
Τούτους ὑβρίζειν εἰς ἐμ'! οἴμ', ὡς ἄχθομαι;
Ὅτι χρηστὸς ὢν, καὶ φιλόπολις, πάσχω κακῶς.
ΔΙΚ. Σὺ φιλόπολις καὶ χρηστός; ΣΥ. ὡς οὐδεὶς ἀνήρ.
ΔΙΚ. Καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι. ΣΥ. τὸ τί;
ΔΙΚ. Γεωργὸς εἶ; ΣΥ. μελαγχολᾶν μ' οὕτως οἴει;
ΔΙΚ. Ἀλλ' ἔμπορος; ΣΥ. ναὶ σκήπτομαί γ', ὅταν τύχω.
ΔΙΚ. Τί δαί; τέχνην τίν' ἔμαθες; ΣΥ. οὐ μὰ τὸν Δία.
ΔΙΚ. Πῶς οὖν διέζης, ἢ πόθεν, μηδὲν ποιῶν;

ΣΥ.

ΣΥ. Τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων.
Καὶ τῶν ἰδίων πάντων. ΔΙΚ. σύ; τί μαθών;
ΣΥ. Βούλομαι.
ΔΙΚ. Πῶς οὖν ἂν εἴης χρηστὸς, ὦ τοιχωρύχε,
Εἴ σοι προσῆκον μηδὲν, εἶτ' ἀπεχθάνει;
ΣΥΚΟΦΑΝΤΗΣ. Οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
Εὐεργετεῖν μ', ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;
ΔΙΚ. Εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
ΣΥΚΟΦΑΝ. Τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις,
Καὶ μὴ 'πιτρέπειν ποτ' ἤν τις ἐξαμαρτάνῃ.
ΔΙΚ. Οὐκοῦν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
Ἀρχὴν καθίστησιν. ΣΥ. κατηγορεῖ δὲ τίς;
ΔΙΚ. Ὁ βουλόμενος. ΣΥ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
Ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
ΔΙΚ. Νὴ Δία, πονηρόν γ' ἆρα προστάτην ἔχει.
Ἐκεῖνο δ' οὐ βούλοι' ἂν, ἡσυχίαν ἔχων
Ζῆν ἀργός; ΣΥ. ἀλλὰ προβατίου βίον λέγεις,
Εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
ΔΙΚ. Οὐδ' ὂν μεταμάθοις; ΣΥ. οὐδ' ἂν εἰ δοίης γέ μοι
Τὸν Πλοῦτον αὐτὸν, καὶ τὸ Βάττου σίλφιον.
ΔΙΚ. Κατάθου ταχέως θοιμάτιον. ΚΑΡ. οὗτος, σοὶ λέγει.
ΔΙΚ. Ἔπειθ' ὑπόλυσαι. ΚΑΡ. πάντα ταῦτα σοὶ λέγει.
ΣΥ. Καὶ μὴν προσελθέτω πρός μ' ὑμῶν ἐνθαδὶ
Ὁ βουλόμενος. ΚΑΡ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.

ΣΥ.

ΣΤ. Οἴμοι τάλας! ἀποδύομαι μεθ' ἡμέραν.
ΚΑΡ. Σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
ΣΤ. Ορᾷς ἃ ποιεῖς; ταῦτ' ἐγὼ μαρτύρομαι.
ΚΑΡ. Αλλ' οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
ΣΤ. Οἴμοι περιείλημμαι μόνος. ΚΑΡΙΩΝ. Νυνὶ βοᾷς;
ΣΤ. Οἴμοι μάλ' αὖθις. ΚΑΡΙΩΝ. Δὸς σύ μοι τὸ τριβώνιον,
Ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
ΔΙΚ. Μὴ δῆθ', ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
ΚΑΡ. Επειτα ποῦ κάλλιον ἀνατεθήσεται,
Ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
ΔΙΚ. Τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.
ΚΑΡ. Καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα,
Ωσπερ κοτίνῳ προσπατταλεύσω τουτωί.
ΣΤ. Απειμι. γινώσκω γὰρ ἥττων ὢν πολὺ
Ὑμῶν. ἐὰν δὲ σύζυγον λάβω τινὰ
Καὶ σύκινον, τὸν ἰσχυρὸν τοῦτον θεὸν
Εγὼ ποιήσω τήμερον δοῦναι δίκην·
Οὐ καταλύει περιφανῶς, εἷς ὢν μόνος,
Τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν,
Τὴν τῶν πολιτῶν, οὔτε τὴν ἐκκλησίαν.
ΔΙΚ. Καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
Εχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε.
Επειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς, θέρου.
Κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
ΚΑΡ. Αλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν, λαβὼν

Τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν, γνώσεται
Οτ' ἐς' ἐκεῖνος τοῦ πονηροῦ κόμματος.
Νῷ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν Θεόν.

ΧΟΡΟΥ.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ τετάρτη.

ΓΡΑΥΣ, ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ.

ΓΡ. Αρ' ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
Αφίγμεθ' ὄντως τοῦ νέου τούτου Θεοῦ,
Ἢ τῆς ὁδοῦ τοπαράπαν ἡμαρτήκαμεν;
ΧΟΡ. Ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη,
Ω μειρακίσκη· πυνθάνῃ γὰρ ὡραϊκῶς.
ΓΡ. Φέρε νῦν, ἐγὼ τῶν ἔνδοθι καλέσω τινα;
ΧΡ. Μὴ δῆτ', ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
Ἀλλ' ὅτι μάλις' ἐλήλυθας, λέγειν ἐχρῆν.
ΓΡ. Πέπονθα δεινὰ καὶ παράνομ', ὦ φίλτατε.
Ἀφ' οὗ γὰρ ὁ Θεὸς οὗτος ἤρξατο βλέπειν,
Αβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
ΧΡ. Τί δ' ἐστιν, ἦπου καὶ σὺ συκοφάντρια
Ἐν ταῖς γυναιξὶν ἦσθα; ΓΡ. μὰ Δί', ἐγὼ μὲν οὔ.
ΧΡ. Ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;
ΓΡ. Σκώπτεις. ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.
ΧΡ. Οὔκουν ἐρεῖς ἀνύσασα τὸν κνισμὸν τίνα;
ΓΡ. Ακουέ νυν. Ἦν μοι τι μειράκιον φίλον,
Πενιχρὸν μὲν, ἄλλως δ' εὐπρόσωπον καὶ καλὸν,

Καὶ

Καὶ χρυσίον. εἰ γάρ τι δεηθείην ἐγὼ,
Ἅπαντ᾽ ἐποίει κοσμίως μοι καὶ καλῶς·
Ἐγὼ δ᾽ ἐκείνῳ πάντα ταῦθ᾽ ὑπηρέτουν.
ΧΡ. Τί δ᾽ ἦν ὅ, τι σου μάλιστ᾽ ἐδεῖθ᾽ ἑκάστοτε;
ΓΡ. Οὐ πολλά. καὶ γὰρ ἐκνομίως μ᾽ ᾐσχύνετο·
Ἀλλ᾽ ἀργυρίου δραχμὰς ἂν ᾔτησ᾽ εἴκοσιν
Εἰς ἱμάτιον γ᾽· ὀκτὼ δ᾽ ἂν εἰς ὑποδήματα·
Καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον.
Ἐκέλευσεν ἂν, τῇ μητρί τε θοιμάτιον·
Πυρῶν τ᾽ ἂν ἐδεήθη μεδίμνων τεττάρων.
ΧΡ. Οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε
Εἴρηκας· ἀλλὰ δῆλον, ὅτι σ᾽ ᾐσχύνετο·
ΓΡ. Καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισγηλίας
Αἰτεῖν μ᾽ ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα·
Ἵνα τοὐμὸν ἱμάτιον φορῶν, μεμνῆτό μου·
ΧΡ. Λέγεις ἐρῶντ᾽ ἄνθρωπον ἐκνομιώτατα·
ΓΡ. Ἀλλ᾽ οὐχὶ νυνὶ γ᾽ ὁ βδελυρὸς τὸν νοῦν ἔχει
Τὸν αὐτὸν· ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
Ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ,
Καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
Ἐπόντα πεμψάσης, ὑπειπούσης θ᾽, ὅτι
Εἰς ἑσπέραν ἥξοιμι. ΧΡ. Τί σ᾽ ἔδρασ᾽; εἰπέ μοι.
ΓΡ. Ἄμητά τε προσέπεμψεν ἡμῖν τουτονὶ,
Ἐφ᾽ ᾧτ᾽ ἐκεῖσε μηδέποτέ μ᾽ ἐλθεῖν ἔτι·
Καὶ πρὸς ἐπὶ τούτοις, εἶπεν ἀποπέμπων, ὅτι
Πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΧΡ. Δῆλον, ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν,
Ἔπειτα πλουτῶν, οὐκ ἔθ᾽ ἥδεται φακῇ·
Πρὸ τοῦ δ᾽, ὑπὸ τῆς πενίας ἅπαντα κατήσθιεν.
ΓΡ. Καὶ μὴν πρὸ τοῦ γ᾽ ὁσημέραι, νὴ τὼ θεώ,

Ἐπὶ τὴν θύραν ἐβάδιζεν αἰεὶ τὴν ἐμήν.
ΧΡΕΜ. Ἐπ' ἐκφορὰν. ΓΡ. Μὰ Δί', ἀλλὰ τῆς φωνῆς μόνον
Ἐρῶν ἀκοῦσαι, ΧΡΕΜΥΛ. Τοῦ λαβεῖν μὲν οὖν χάριν.
ΓΡ. Καὶ νὴ Δί', εἰ λυπουμένην γ' αἴσθοιτό με,
Νιττάριον ἂν καὶ Βάττιον ὑπεκορίζετο.
ΧΡ. Ἔπειτ' ἴσως ᾔτησεν ἄν σ' ὑποδήματα.
ΓΡ. Μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
Ἐπὶ τῆς ἁμάξης, ὅτι προσέβλεψέν μέ τις,
Ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν.
Οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
ΧΡ. Μόνος γὰρ ἥδεθ', ὡς ἔοικεν, ἐσθίων.
ΓΡ. Καὶ τάς γε χεῖρας παγκάλους ἔχειν μ' ἔφη.
ΧΡ. Ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.
ΓΡ. Ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου.
ΧΡ. Εἰ Θάσιον ἐνέχεις, εἰκότως γε, νὴ Δία.
ΓΡ. Τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
ΧΡΕΜΥΛΟΣ Οὐ σκαιὸς ἦν ἄνθρωπος· ἀλλ' ἠπίστατο,
Γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
ΓΡ. Ταῦτ' οὖν ὁ θεὸς, ὦ φίλ' ἄνερ, οὐκ ὀρθῶς ποιεῖ,
Φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
ΧΡΕΜΥΛΟΣ. Τί γὰρ ποιήσει; φράζε, καὶ πεπράξεται.
ΓΡ. Ἀναγκάσαι δίκαιόν ἐστι, νὴ Δία,
Τὸν εὐπαθόνθ' ὑπ' ἐμοῦ, πάλιν μ' ἀντευποιεῖν·
Ἢ μηδ' ὁτιοῦν δίκαιον ἀγαθὸν ἔστ' ἔχειν.

ΧΡ.

ΧΡ. Οὐκοῦν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;

ΓΡ. Ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.

ΧΡ. Ὀρθῶς γε, νῦν δέ γ' οὐκ ἔτι ζῆν σ' οἴεται.

ΓΡ. Ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ', ὦ φίλτατε.

ΧΡ. Οὐκ· ἀλλὰ κατασέσηπας, ὥς γέ μοι δοκεῖς.

ΓΡ. Διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις.

ΧΡ. Εἰ τυγχάνει γ' ὁ δακτύλιος ὢν τηλία.

ΓΡ. Καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται.
Οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω.
Ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν. ΧΡ. Φαίνεται·
Στέφανόν γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ πεμπτή.

Τρίμετροι ἰαμβικοί.

ΝΕΑΝΙΑΣ, ΓΡΑΥΣ, ΧΡΕΜΥΛΟΣ.

Ἀσπάζομαι. ΓΡ. τί φησιν; ΝΕ. Ἀρχαία φίλη,
Πολιὰ γεγένησαι ταχύγε, νὴ τὸν οὐρανόν.

ΓΡ. Τάλαιν' ἐγὼ, τῆς ὕβρεως, ἧς ὑβρίζομαι!
ΧΡ. Ἔοικε διὰ πολλοῦ χρόνου σ' ἑωρακέναι.
ΓΡ. Ποίου χρόνου, ταλάντατ'; ὃς παρ' ἐμοὶ χθὲς ἦν.
ΧΡ. Τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα·
Μεθύων γὰρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.
ΓΡ. Οὐκ· ἀλλ' ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.
ΝΕ. Ω Ποντοπόσειδον, καὶ θεοὶ πρεσβυτικοί,
Ἐν τῷ προσώπῳ τῆς ῥυτίδας ὅσας ἔχει! ΓΡ. Α, ἆ,
Τὴν δᾷδα μή μοι πρόσφερ'. ΧΡ. Εὖ μέν τοι λέγει.
Ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ,
Ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
ΝΕ. Βούλει διὰ χρόνου πρός με παῖσαι; ΓΡ. Ποῖ τάλαν;
ΝΕ. Αὐτοῦ, λαβοῦσα κάρυα. ΓΡ. Παιδιὰν τίνα;
ΝΕ. Πόσους ἔχεις ὀδόντας; ΧΡ. Ἀλλὰ γνώσομαι
Κἀγωγ'. ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
ΝΕ. Ἀπότισον. ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
ΓΡ. Ταλάντατ' ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
Πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
ΝΕ. Ὄναιο μέν γ' ἂν εἴ τις ἐκπλύνειέ σε.
ΧΡ. Οὐ δῆτ', ἐπεὶ μὲν νῦν καπηλικῶς ἔχει.
Εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
Ὄψει κατάδηλα τοῦ προσώπου γε τὰ ῥάκη.
ΓΡ. Γέρων ἀνὴρ ὢν, οὐχ ὑγιαίνειν μοι δοκεῖς.

ΝΕ.

ΝΕ. Πειρᾷ μὲν ἂν ἴσως σε, καὶ τὸ τιτθίον
Εφάπτεταί σου, λανθάνειν δοκῶν ἐμέ.
ΓΡ. Μὰ τὴν Αφροδίτην οὐκ ἐμοῦ γ᾽, ὦ βδελυρὲ σύ.
ΧΡ. Μὰ τὴν Εκάτην οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
Αλλ᾽, ὦ νεανίσκ᾽ οὐκ ἐῶ τὴν μείρακα
Μισεῖν σε ταύτην. ΝΕ. Ἀλλ᾽ ἔγωγ᾽ ὑπερφιλῶ.
ΧΡ. Καὶ μὴν κατηγορεῖ γέ σου. ΝΕ. Τί κατηγορεῖ;
ΧΡ. Εἶναί σ᾽ ὑβριστήν φησι, καὶ λέγειν, ὅτι
Πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΝΕ. Εγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι. ΓΡ. Τὸ τί;
ΝΕ. Αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σὴν, ἐπεὶ
Οὐκ ἄν ποτ᾽ ἄλλῳ τοῦτ᾽ ἐπέτρεπον ποιεῖν.
Νῦν δ᾽ ἄπιθι χαίρων, συλλαβὼν τὴν μείρακα.
ΧΡ. Οἶδ᾽ οἶδα τὸν νοῦν· οὐκέτ᾽ ἀξιοῖς ἴσως
Εἶναι μετ᾽ αὐτῆς. ΓΡ. Ὁ δ᾽ ἐπιτρέψων ἐστὶ τίς;
ΝΕ. Οὐκ ἂν διαλεχθείην διεσπεκλωμένῃ
Ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.
ΧΡ. Ὅμως δ᾽, ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
Πίνειν, συνεκποτέ᾽ ἐστί σοι καὶ τὴν τρύγα.
ΝΕ. Αλλ᾽ ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
ΧΡ. Οὐκοῦν τρύγοιπος ταῦτα πάντ᾽ ἰάσεται.
ΝΕ. Αλλ᾽ εἴσιθ᾽ εἴσω· τῷ θεῷ γὰρ βούλομαι
Ελθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ᾽, οὓς ἔχω.
ΓΡ. Εγὼ δέ γ᾽ αὐτῷ καὶ φράσαι τι βούλομαι.

ΝΕ. Ἐγὼ δέ γ' οὐκ εἴσειμι. ΧΡ. Θάῤῥει, μὴ φοβοῦ.
Οὐ γὰρ βιάσεται. ΝΕ. Πάνυ καλῶς τοίνυν λέγεις.
Ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.
ΓΡ. Βάδιζ'· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
ΧΡ. Ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γρᾴδιον,
Ὥσπερ λεπὰς, τῷ μειρακίῳ προσίσχεται!

ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ

Σκηνὴ πρώτη.

Τρίμετροι ἰαμβικοί.

ΚΑΡΙΩΝ, ΕΡΜΗΣ.

ΚΑΡ. Τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
Οὐδεὶς ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
Φθεγγόμενον ἄλλως κλαυσιᾷ. ΕΡ. Σέ τοι, σέ τοι
Λέγω, Καρίων, ἀνάμεινον. ΚΑΡ. Οὗτος, εἰπέ μοι,
Σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
ΕΡ. Μὰ Δί', ἀλλ' ἔμελλον· εἶτ' ἀνέῳξάς με φθάσας.
Ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ·

Ἐπειτα τὴν γυναῖκα καὶ τὰ παιδία·
Ἔπειτα τοὺς θεράποντας· εἶτα τὴν κύνα·
Ἔπειτα σαυτόν· εἶτα τὴν ὗν. ΚΑΡ. Εἰπέ
μοι
Τί δ᾽ ἐστίν; ΕΡ. Ὁ Ζεὺς, ὦ πόνηρε, βούλεται
Ες ταυτὸν ὑμᾶς συγκυκήσας τρύβλιον,
Ἀπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.
ΚΑΡ. Ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
Ατὰρ διὰ τί γε ταῦτ᾽ ἐπιβουλεύει ποιεῖν
Ημᾶς; ΕΡ. Οτιὴ δεινότατα πάντων πραγμάτων
Εἴργασθ᾽. ἀφ᾽ οὗ γὰρ ἤρξατ᾽ ἐξαρχῆς βλέπειν
Ο Πλοῦτος, οὐδεὶς οὐ λιβανωτὸν, οὐ δάφνην,
Οὐ ψαιστὸν, οὐχ ἱερεῖον, οὐκ ἄλλ᾽ οὐδὲν
Ημῖν ἐπιθύει τοῖς θεοῖς. ΚΑΡ. Μὰ Δί᾽, οὐδέ γε
Θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ᾽ ἡμῶν τότε.
ΕΡ. Καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει.
Εγὼ δ᾽ ἀπόλωλα κἀπιτέτριμμαι. ΚΑΡ. Σωφρονεῖς.
ΕΡ. Πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν
Πάντ᾽ ἀγαθ᾽ ἕωθεν εὐθύς; οἰνοῦτταν, μέλι,
Ισχάδας, ὅσ᾽ εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν.
Νυνὶ δὲ πεινῶν, ἀναβάδην ἀναπαύομαι.
ΚΑΡ. Οὐκοῦν δικαίως, ὅς τις ἐποίεις ζημίαν
Ενίοτε, τοιαῦτ᾽ ἀγαθ᾽ ἔχων. ΕΡ. Οἴ μοι τάλας,
Οἴ μοι πλακοῦντος τοῦ ᾽ν τετράδι πεπεμμένου.
ΚΑΡ. Ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς.
ΕΡ. Οἴ μοι δὲ κωλῆς, ἣν ἐγὼ κατήσθιον.
ΚΑΡ. Ἀσκωλίαζ᾽ ἐνταῦθα πρὸς τὴν αἰθρίαν.
ΕΡ. Σπλάγχνων τε θερμῶν, ὧν ἐγὼ κατήσθιον!

ΚΑΡ. Ὀδύνη σε περὶ τὰ σπλάγχν' ἔοικ' ἐπιστρέφειν.
ΕΡ. Οἴ μοι τῆς κύλικος, ἴσον ἴσῳ κεκραμένης!
ΚΑΡ. Ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις.
ΕΡ. Ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
ΚΑΡ. Εἴ του δέῃ γ' ὧν δυνατός εἰμι σ' ὠφελεῖν.
ΕΡ. Εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον,
Δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν,
Ὧν θύεθ' ὑμεῖς ἔνδον. ΚΑΡ. Ἀλλ' οὐκ ἐκφορά.
ΕΡ. Καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
Ὑφείλου, ἐγώ σε λανθάνειν ἐποίουν ἀεί.
ΚΑΡ. Ἐφ' ᾧτε μετέχειν αὐτὸς, ὦ τοιχωρύχε.
Ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.
ΕΡ. Ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.
ΚΑΡ. Οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοὶ,
Ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.
ΕΡ. Μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
Ἀλλ' οὖν σύνοικον πρὸς θεῶν δέξασθέ με.
ΚΑΡ. Ἔπειτ' ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;
ΕΡ. Τὰ γὰρ παρ' ὑμῖν ἐστὶ βελτίω πολύ.
ΚΑΡ. Τί δέ γ' αὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
ΕΡ. Πατρὶς γάρ ἐστι πᾶσ', ἵν' ἂν πράττῃ τις εὖ.
ΚΑΡ. Τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;
ΕΡ. Παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.
ΚΑΡΙΩΝ. Στροφαῖον; ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.
ΕΡ. Ἀλλ' Ἐμπολαῖον· ΚΑΡ. Ἀλλὰ πλουτοῦμεν· τί οὖν

Ἑρμῆν

Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
ΕΡ. Ἀλλὰ Δόλιον τοίνυν. ΚΑΡ. Δόλιον; ἥκιστά γε.
Οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.
ΕΡ. Ἀλλ' Ἡγεμόνιον. ΚΑΡ. Ἀλλ' ὁ θεὸς ἤδη βλέπει.
Ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.
ΕΡ. Ἐναγώνιος τοίνυν γ' ἔσομαι· καὶ τί ἔτ' ἐρεῖς;
Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,
Ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
ΚΑΡ. Ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν·
Οὗτος γὰρ ἐξεύρηκεν αὑτῷ βιότιον.
Οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες, θαμὰ
Σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
ΕΡ. Οὐκοῦν ἐπὶ τούτοις εἰσίω; ΚΑΡ. Καὶ πλῦνέ γε
Αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
Ἵν' εὐθέως διακονικὸς εἶναί μοι δοκῇς.

ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

ΔΡΑΜΑΤΟΣ, ΠΕΜΠΤΟΥ

Σκηνὴ δευτέρα.

ΙΕΡΕΥΣ ΤΟΥ ΔΙΟΣ, ΚΑΡΙΩΝ.

Τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;
ΚΑΡ. Τί δ' ἐστιν, ὦ βέλτιστε; ΙΕΡ. Τί γὰρ ἀλλ' ἢ κακῶς;
Ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
Ἀπόλωλ' ὑπὸ λιμοῦ· καταφαγεῖν γὰρ οὐκ ἔχω·
Καὶ ταῦτα τοῦ Σωτῆρος ἱερεὺς ὢν Διός.
ΚΑΡ. Ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν θεῶν;
ΙΕΡ. Θύειν ἔτ' οὐδεὶς ἀξιοῖ. ΚΑΡ. Τίνος οὕνεκα;
ΙΕΡ. Οἱ πάντες εἰσὶ πλούσιοι· καίτοι τότε
Ὅτ' εἶχον οὐδέν, ὁ μὲν ἂν ἥκων ἔμπορος,
Ἔθυσεν ἱερεῖόν τι σωθείς· ὁ δέ τις ἂν
Δίκην ἀποφυγών· ὁ δ' ἂν ἐκαλλιερεῖτό τις.
Καὶ μετεκάλει τὸν ἱερέα. νῦν δ' οὐδὲ εἷς
Θύει τὸ παράπαν οὐδὲν οὐδ' εἰσέρχεται,
Πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι.
ΚΑΡ. Οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
ΙΕΡ. Τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
Χαίρειν ἐάσας, ἐνθάδ' αὐτοῦ καταμένειν.
ΚΑΡ. Θάρρει. καλῶς ἔσται γάρ, ἢν θεὸς θέλῃ.

Ὁ Ζεὺς ὁ Σωτὴρ γὰρ πάρεστιν ἐνθάδε
Αὐτόματος ἥκων. ΙΕΡ. Πάντ' ἀγαθὰ τοίνυν λέγεις.
ΚΑΡ. Ἱδρυσόμεθ' οὖν αὐτίκα. ἀλλὰ περίμενε
Τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τοῦ θεοῦ.
Ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας.
Ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ. ΙΕΡ. Πάνυ μὲν οὖν
Δρᾶν ταῦτα χρή. ΚΑΡ. Τὸν Πλοῦτον ἔξω τις καλεῖ.

ΔΡΑΜΑΤΟΣ ε΄. ΣΚΗΝΗ γ΄.

Τρίμετροι καὶ Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

ΓΡΑΥΣ, ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

ΓΡ. Ἐγὼ δὲ τί ποιῶ; ΚΑΡ. τὰς χύτρας αἷς τὸν θεὸν
Ἱδρυσόμεσθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
Σεμνῶς· ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.
ΓΡ. Ὧν δ' οὕνεκ' ἦλθον; ΚΑΡ. Πάντα σοι πεπράξεται.
Ἥξει γὰρ ὁ νεανίσκος ὡς σ' εἰς ἑσπέραν.
ΓΡ. Ἀλλ' εἴγε μέν τοι, νὴ Δί', ἐγγυᾷ σύ μοι
Ἥξειν ἐκεῖνον ὡς ἐμ', οἴσω τὰς χύτρας.
ΚΑΡ. Καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία

Αὗται ποιοῦσι. ταῖς μὲν ἄλλαις γὰρ χύτραις,
Ἡ γραῦς ἔπεστ' ἀνωτάτω· ταύτης δὲ νῦν
Τῆς γραὸς, ἐπιπολῆς ἔνεισιν αἱ χύτραι.

ΧΟΡΟΣ.

ΧΡ. Οὐκ ἔτι τοίνυν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
Εἰς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

ΤΕΛΟΣ ΠΛΟΥΤΟΥ.

ARISTOPHANIS
PLUTUS.

PERSONÆ DRAMATIS.

Carion ſervus.	*Juſtus vir.*
Chremylus herus.	*Injuſtus vir.*
Plutus.	*Sycophanta.*
Chorus ruſticorum.	*Anus amaſia adoleſcentis.*
Blepſidemus.	*Juvenis, ſeu adoleſcens.*
Paupertas.	*Mercurius.*
Mulier, uxor Chremyli.	*Sacerdos Jovis.*

ARISTOPHANIS PLUTUS.

ACTUS I. SCENA I.

Senarii Jambici.

CARIO, CHREMYLUS.

Proh Jupiter & Dii, quam dura est provincia,
Si quis hero desipienti servus serviat.
Nam si optima quæque servus suaserit:
Secus autem hero sint visa: ibi necesse famulum
Fieri malorum participem cum hero suo.
Nam ita inique comparatum est, ut sors invida
Jus corporis, non illi, qui ipsum possidet,
Sed ei, qui pretio est mercatus, concesserit.
Atque hoc ita, ut dixi, me Castor sese habet.
De Apolline autem, qui ex tripode suo aureo
Ambigua solet responsa dare quærentibus,
Non injustam hanc querimoniam habeo: quod bonus
Cum sit Medicus, & vates, ut dicunt, bonus,

Herum meum dimiſit à ſe ægerrimum,
Et atra bile percitum: veſtigia
Qui cæci hominis à tergo ſubſequitur videns:
Longeque ſecus facit, quam facere eum decet.
Nam qui videmus, alios cæcos ducimus:
Hic, qui videt, cæcum ſequitur: ac me inſuper
Eodem adigit: reſpondens interim ne gry quidem,
Quare non eſt, ut ſileam nunc diutius:
Niſi tu mihi dixeris here, quid tandem fiet,
Quod hunc ſequimur. Aliàs moleſtus ero tibi,
Neque enim me verberabis, qui ſertum gero.
CH. Non per Jovem. ſed ſi moleſtus ſis mihi
In aliqua re, ego, detracto ſerto, te flagris
Multabo, ut pejus etiam habeas. CA. Nugas agis.
Nam ego prius non ceſſabo, quam tu dixeris
Hic quis fiet. Quia enim fidelis ſum tibi,
Ideo tam ſollicite, quæ ſunt in rem tuam,
Inquiro. CH. Agedum, jam non celabo te amplius.
Nam ex omnibus ſervis te, uti fideliſſimum
Mihi, ſic & furaciſſimum credo omnium.
Ego cum vir eſſem juſtus, integer & pius:
Hactenus in egeſtate, & ſumma penuria
Ætatem egi, inopem ac miſeram. CA. Iſthuc ſcio.
CH. Alii vero nequam homines, ſcelerati, improbi,
Sacrilegi, ſycophantæ, rabulæ, interim
Diteſcebant. CA. Iſthuc credo facillime.
CH. Interrogaturus igitur, adivi hunc Deum,
Ut, qui putabam vitæ ærumnoſæ prope
Exhauſtam à me eſſe partem longe maximam:
Conſulerem eum de filio, quem habeo unicum:
An illi expediat permutatis moribus
Eſſe improbo, male verſuto, ſani nihil:

Nam

Nam ad bene vivendum hoc credebam apprimè utile.
CA. Quid ergo per coronas Phœbus garriit?
CH. Id audies. apertè enim Deus mihi
Hoc dixit, ut cuicunque primum occurrerem,
Templo egressus, eum nullo desererem loco,
Animumque inducerem, domum usque persequi.
CA. Et huic tu primum ergo occurristi? CH. Huic scilicet.
CA. Quid, si tu homo ineptissime, mentem optimi Dei
Non assecutus es? qui aperte hoc consulit,
Ut filium nostratum moribus imbuas?
CH. Unde istud conjicis? CA. Hoc vel cæcus viderit
Quod maximè conducat, hoc nunc tempore
Nihil quicquam sani quenquam hominem conarier.
CH. At hoc mihi non fit verisimile Cario,
Quod in istam partem propendeat oraculum:
Sed in aliud longè majus. Quod si vir hic
Nobis aperiat, quisnam sit, cujus rei
Causa, aut qua re indigens, nobiscum huc venerit,
Forte assequemur oraculum, quid innuat,
CA. Age tu, dic hoc primum mihi, quinam vir sies:
Aut post minas sic faciam. CH. Dicto opus est cito.

ACTUS I. SCENA II.

Senarii Jambici.

PLUTUS, CARIO, CHREMYLUS.

Tibi ego dico, ut male pereas. CA. Audis here,
Quem se esse dicat? CH. Hoc tibi dicit, non mihi,
Nam rustice & inhumaniter eum interrogas.
Age vero, si quid tibi candidi hominis placent
Mores: mihi dicito. PL. Dico tibi, ut male habeas.
CA. Habe virum tibi, habe hoc augurium Apollinis.
CH. Ita me Ceres amet: faxo ego ne gaudeas.
Nisi enim dicas qui sis, male te perdam malum.
PL. Abscedite à me, obsecro viri. CH. Minimè omnium.
CA. Here, quod mihi factu nunc videtur optimum,
Id eloquar: hunc ego hominem perdam pessimè.
Nam in præcipitium aliquod eum ducam, atque ibi
Homine relicto, me subducam protinus,
Ut illinc delapsus, collum frangat miser.
CH. Eja ocyus rape. PL. Nequaquam. CH. Loquere igitur.
PL. Atqui, si cognoveritis me, qui vir siem,
Sat scio, aliquod mihi dabitis malum, neque
Dimittetis. CH. Nos per Deos, si tu velis.
PL. Omittite ergo nunc primum. CH. Ecce omittimus.
PL. Advertite nunc (nam quantum video, res eo
Rediit, ut cogar expromere, quæ statueram
Celare vos) ego sum Plutus. CH. Hominum omnium,
Qui vivunt, sordidissime. & fœdissime,

Tun'

Tun' Plutum esse nos cœlares? CA. Tune sis
Plutus, qui usque adeo nunc ægre & misere habeas?
O Phœbe Apollo, ô Dii indigetes, ô cœlites,
O Jupiter, quid ais; an verè is es? PL. Etiam.
CH. Is ipse? PL. Ipsissimus. CH. Sed undenam cedo
Tam squalidus huc predis? PL. E Patrocli domo,
Qui nunquam lavit, ex quo ætatem inter homines
Agit. CH. Dic mihi amabo, unde isthuc sit tibi malum.
PL. His Jupiter me multavit malis, sua
Bona invidens hominibus: nam olim puer adhuc
Minatus fueram, quod desertis improbis,
Justos, modestos, eruditos & probos.
Adire solos vellem: sed me Juppiter
Occœcavit, ut horum dignoscam neminem.
Adeo frugi hominibus hic Deus malè invidet.
CH. Atqui ille honorem accipit à justis & bonis
Solis. PL. Fateor. CH. Age tu, si visum pristinum
Recuperes, nunquid fugies jam deinceps malos;
PL. Ita loquor. CHREM. Ad justos divertes? PL. Scilicet,
Nam nusquam ipsos jam longo vidi tempore.
CH. Neque id mirum: quando ego oculatus ejusmodi
Haud usquam video. PL. Dimittite nunc me; quæ enim
Scire ex me voluistis, ea tenetis omnia.
CH. Non per Jovem, sed te multo nunc avidius
Retinebimus. PL. Annon ita fore hoc prædixeram,
Quod essetis mihi facturi hic negotia?

CH. Obsecro, da te mihi, neque desere me. Virum
Si quæras, quam ego sum, in vita meliorem, neque
Tu reperies, neque per Jovem altus est, quàm ego.
PL. Hoc pollicentur omnes: sed ubi me semel
Adepti fuerint, divitesque evaserint,
Planè, à probitate deflectunt ad malitiam.
CH. Ita est: veruntamen non omnes sunt mali.
PL. Imo omnes, per Jovem. CA. Pœnas dabis mihi.
CH. At tu, ut scias, quanta accepturus sis bona,
Si apud nos maneas, animum adhibe, ut intelligas.
Confido enim atque spero (modo Deus annuat)
Fore, ut hac ego te cæcitate liberem,
Tibique visum restituam. PL. Minimè omnium
Hoc feceris; nam visum recipere non lubet.
CH. Quid ais? CA. Hic homo ingenio est nato ad miseriam.
PL. At Juppiter, quem vesania horum non latet,
Si hoc rescifcat, me penitus perduit. CH. Quasi
Vero hoc ipsum jam non agat, cum scilicet
Te cæcum oberrare, & passim impingere sinit?
PL. Id nescio: sed ego formido ipsum maximè.
CH. Itane vero, ô meticulosissime omnium?
Sed censen' tu illud imperium magni Jovis,
Et fulmina ejus digna vel teruncio:
Si tu oculos recipias, vel modico tempore?

PL.

PL. Ab ista ne dixis, scelus. CH. Acquiesce: nam
Ego demonstrabo, quod tu plus ipso Jove
Possis. PL. Egon? CH. Tu, per cœlum: & nunc illico.
Bonus ille Jupiter, per quem Diis imperat?
CA. Per argentum: hoc enim illi abunde suppetit.
CH. Age quis Jovi illud argentum largitur? CA. Hic.
CH. Per quem Jovi homines sacrificant? nunquid per hunc?
CA. Omnino: nam huc omnia vota sacrificantium
Redeunt; ut ii ditescant, qui Deum invocant.
CH. An non igitur hic autor sacrorum omnium est?
Et, si velit hic, facilè ista omnia desiverint? PL. Quamobrem?
CH. Quia ne unus hominum quidem offerat
Bovem deinceps, aut pecudem, aut aliud denique,
Si tu prohibeas. PL. Quomodo? CH. Quomodo? quia
Non erit, unde quis emat, ad libandum quippiam,
Nisi tu præsens ei argentum dederis: ita,
Ut vim Jovis (si tibi molestus sit forsitan)
Tu solus destruas. PL. Quid ais: num homines ei
Per me sacra faciunt? CH. Ita dico: & per Jovem
Si quid præclarum, aut pulchrum, aut gratum denique
Inter homines existit, per te maximè
Existit, nam pecuniæ obediunt omnia.
CA. Ego certe modico ære emtus, miseram servio

Hunc

Hanc servitutem, quin nummatus non eram.
CH. *Etiam Corinthiacas ajunt meretriculas,*
Si quando pauper eas sollicitando ambiat,
Nullam rationem ejus habere: at si quispiam
Dives: statim illi facere copiam sui.
CA. *Hoc ipsum ajunt facere pueros tenellulos,*
Non propter amatores, sed quæstus gratia.
CH. *At tu hoc non de bonis, sed de meritoriis*
Dici puta: nam frugi argentum haud expetunt.
CA. *Quid ergo petunt?* CH. *Alius quidem generosum equum,*
Alius vero expetit canes venaticos.
CA. *Fortasse dum eos pecuniam exposcere pudet,*
Hoc prætextu suam tegunt infamiam.
CH. *Artes item omnes, omnes præstigiæ & doli*
Inter homines propter te excogitata sunt.
Te propter in sutrina alius corium secat:
Alius ferrum ducit: alius ligna fabricat:
Alius, quod à te accepit, aurum liquefacit.
Est, qui tui causa spoliat: qui parietes
Perfodit: alius fullonem agit: hic pelles lavat:
Hic corium tingit: ille cepas venditat:
Hic deprehensus adulter vulsuram miser
Patitur: tuique hæc studio fiunt omnia.
PL. *Ah me miserum, qui isthæc ignoravi hactenus?*
CH. *Rex ille Persarum, annon se effert propter hunc?*
CA. *Et cœtus hominum nunquid fiunt propter hunc?*
CH. *Quid? num triremes tu non comples? cedo mihi.*
CA. *Conductum exercitum in Corintho hic non alit?*
CH. *Non Pamphilus ab isthoc habet, quod lugeat?*
CA. *Et Belonopoles nonne una cum Pamphilo?*

CH.

CH. Nonne Argyrius hunc propter immodeste agit?
CA. Philepsius nonne tui causa fabulas recitat?
CH. Non propter te auxilium Ægyptiis datur?
CA. An non propter te Lais amat Philonidem?
CH. At Timothei turris? CA. Ea te quidem obruat.
CH. Nonne hæc, quæ dico, propter te fiunt omnia?
Tu namque solus auctor & perfector es
Bonorum, quod scias, malorumque omnium.
CA. Imo etiam in bello plerunque solet vincere
Ea pars, in quam hic potissimum propenderit.
PL. Egone unus hæc efficere tanta sim potens?
CH. Et per Jovem, hisce multo plura tu potes,
Neque quenquam hominem tui unquam cepit satietas.
Nam aliarum rerum satietas est omnium:
Amoris. CA. Panum. CH. Musicæ. CA. Bellarium.
CH. Honoris. CA. Placentarum. CH. Fortitudinis. CA. Caricarum.
CH. Ambitionis. CA. Polentæ. CH. Imperii. CA. Lentium.
CH. Tui autem tædio, nemo unquam affectus est.
Nam si quis accipiat talenta tredecim,
Avidius contendit parare sedecim.
Si & hæc confecerit, quadraginta appetit:
Aut vitam sibi post esse vitalem negat.
PL. Videmini profecto mihi bene dicere.
Hoc præter unum, quod metuo. CH. Quidnam, cedo?
PL. Vereor, ut hanc potentiam, qua præditum
Me vos esse affirmatis, ego unquam consequar,
CH. Sane vero: sed illud omnes dictitant,

Plutum rem esse timidissimam. PL. Nihil minus:
Sed olim quidam perfossor parietum me ita
Calumniatus est; qui cum in meam domum
Tacite irrepsisset, nihil asportare potuit,
Propterea, quod occlusa repperisset omnia.
Exinde meam fur ille providentiam
Interpretatus est falso formidinem.
CH. Nihil prorsum curæ sit tibi jam. Nam si ego
Promptum & paratum te hac in re cognovero,
Faxo, ut videas acutius vel Lynceo.
PL. Qui tu hoc perficere possis, qui mortalis es?
CH. Bonam spem concepi ex iis, quæ modo mihi
Phœbus respondit, laurum excutiens Pythicam.
PL. Etiam ille horum tecum conscius est? CH. Ita loquor.
PL. Videte. CH. Ne sis sollicitus. Ego enim, ut probe
Istuc scias, vel capitis mei periculo
Ipsemet hæc conficiam. CA. Et ego tecum, si lubet.
CH. Aderunt etiam alii adjutores plurimi,
Qui quod justi sunt, non habent quod esitent.
PL. Papæ, miseros hos adjutores prædicas.
CH. Haudquaquam, si modo ii ditescant denuo.
Sed curre tu curriculo. CA. quid faciam, cedo.
CH. Vicinos agricolas accerse (reperies
Ipsos forte in agris, operi intentos rustico)
Ut hic præsto assient, & æquam cuilibet
Eorum partem Pluti nobiscum auferat.
CA. Eo: sed hanc carnem aliquis hinc intro ferat.
CH. Mihi hæc res curæ erit, tu curre celeriter.

At

At ô Deorum Plute præstantissime,
Nunc tu huc mecum ingredere, quoniam hæc mea est domus
Quam te hodie oportet ditare, per fas & nefas.
PL. At enim molestum est mihi. Deos testor, domum
Ingredi, alienam præsertim atque incognitam.
Nam nihil unquam illic habui, quo fruerer, boni.
Si enim mihi contigerit ad sordidum ingredi:
Continuo ille in terra defossum me occulit.
Post ubi probus quispiam amicus adiverit, opem
Implorans, & pecuniolæ parum exigens:
Negat ille habere, ac ne vidisse me quidem
Ait: sin ad prodigum hominem divertero;
Scortis, & aleis objectus, temporis
Momento, nudus illinc protrudor foras.
CH. Mediocrem hominem nactus es huc usque neminem:
At ego tali ingenio sum præditus: lubens,
Si quisquam alius, mea comparco: rursum, ubi opus est,
Sumtus facio, sed eamus intro: nam volo
Ut te uxor videat, & gnatus meus unicus,
Quem, post te, amo maxime. PL. Credo facillime,
CH. Cur enim aliquis, quæ vera, tibi non indicet?

ACTUS II. SCENA I.

Octonarii Jambici, Catalectici, Dimetri, Anacreontii, & alii quidam.

CARIO, CHORUS.

O *Qui multas cum hero cepas edistis una amici*
Viri, & populares, & laborum studiosi, venite,
Ite, properate, currite: neque enim ullus est morandi
Locus: sed ipsa se offert occasio rei gerendæ:
Quam ut arripiatis protinus, vi tota anniti oportet.
CH. *Atqui vides me prompte jamdudum gradum incitare.*
Quantum quidem à nobis fieri est æquum, viris labore
Fessis, & natu grandioribus: sed tu requiris,
Ut æquis passibus tecum curramus: & hoc priusquam
Nos certos reddas, quare tuus herus nos huc vocarit.
CA. *Atqui ego jamdudum dixi, sed tu non advertis aures,*
Quod Chremylus herus meus dicat, vos deinceps universos
Hanc austeram & odiosam vitam cum alia suaviori
Permutaturos, & beate victuros & delicate.

CH.

CH. Quid hoc negotii est? aut undenam; de quo ille dicit?

CA. Modo huc advenit, ô agricolæ, adducens quempiam una

Senem squalidum, gibbosum, ærumnosum, cariosum,

Edentulum, rugosum, calvum, & ut puto, etiam apellam.

Nam testor altum cælum, talis esse mihi videtur.

CH. O aureum mihi nuncium! quid ais. Dic quæso nobis:

Nam innuis ipsum venire cum pecuniarum acervo.

CA. Imo, ut ego arbitror, habet acervum senilium malorum.

CH. Ehem! tun' impune abiturum te speras, si me inani

Spe ludifices: præsertim cum hunc ego gestem scipionem?

CA. Vah: num vos ita me ad omnia natura esse procreatum

Putatis, ut nihil sani à me dici judicetis?

CH. Ut honestus est hic verbero! at interim tua crura clamant

Heu, heu: & compedes, & crassas pedicas expetessunt.

CH. In tumulo tibi sorte obtigit jus dicendi potestas:

Tu vero non abis. Atqui Charon tibi symbolum dat.

CH. Rumparis: ut molestus es, & ingenio versipelli,

Qui nos ita ludere pergis, nec dum protulisti aperte,

Cujus nam rei causa tuus herus nos huc advocarit:

Cum multis nos laboribus districti & occupati,

Huc properemus, thymi radices multas transeuntes.

CA. At jam non celabo amplius. Herus intra tecta Plutum
Adduxit secum: qui vos agricolas ditabit omnes.
GH. An revera nos omnes divites sumus futuri?
CA. Imo Midæ: si modo asininas induatis aures.
CH. Ut lætor, ut delector, ut tripudiare allubescit
Mihi nunc, præ gaudio, si vera sunt, quæ prædicas tu!
CA. At ego volo Threttanelo Cyclopem imitans, & pedes hoc
Modo inferens, vos agere: Eja filioli clamitantes
Balate mecum velut oves,
Et fœtidæ velut capræ.
Subsequimini, ut hirci, intemperantius lascivientes.
CH. At nos vicissim, Threttanelo illum quæremus Cyclopem,
Balantes: & ubi famelicum te prenderimus, gerentem
Peram, & olera roscida, & agrestia, nec non & temulentum,
Ovibus tuis præcedere,
Aut forte somnum carpere;
Illic ingenti te palo excæcabimus præusto!
CA. At ego omnibus modis Circen imitabor, quæ venenis
Ex arte confectis socios Philonidæ apud Corinthum
Mutavit in fœdos sues:

Ip-

Ipsisque persuasit, ut oletum coctum devorarent,
Quod illa prius subegerat.
Vos igitur hac voluptate illecti, ite grunnientes
Porcam sues secuti.
CH. At nos vicissim te Circen permiscentem venena,
Et præstigiis socios ludificantem, & contaminantem,
Prendemus: & præ gaudio,
Ulyssem imitantes, tibi suspenso à testiculis, ut hirco,
Nares linemus stercore:
Tum tu, ut Aristyllus, risu modice diducto, intonabis:
Matrem sequare porca.
CA. Age nunc cavillis & jocis omissis, vos redite
Ad pristinum formæ decus:
Ego hinc abibo clanculum,
Et pane carnibusque hero
Surreptis, ubi probe satur
Fuero, huic negotio gnavam manum admovebo.

ACTUS

ACTUS II. SCENA II.

Senarii Jambici.

CHREMYLUS, CHORUS.

Ut vos jubeam ſalvere, ô populares mei;
Inſipida & obſoleta ſalutatio mihi
Videtur. Itaque ſaluto more vos novo:
Ut obviis ulnis amplector! quod animis
Tam propenſis pleno huc adventatis gradu,
Minimeque remiſſo. Quod nunc reliquum eſt, date operam,
Ut etiam in cæteris præſto adſitis mihi:
Plutumque mecum una aſſervetis ſerio.
CH. Bono animo es, nam talem me ſocium ſenties,
Ut alterum Martem videre te putes.
Si enim in conventibus propter teruncium
Subinde altercamur: certe indignum fiet,
Ipſum Plutum è manibus cuiquam dimittere.
CH. At enim video huc & Blepſidemum accedere:
Certum eſt ex inceſſu propero, & celeri gradu,
Quod jam aliquid de iſthoc reſcivit negotio.

ACTUS

ACTUS II. SCENA III.

Senarii.

BLEPSIDEMUS, CHREMYLUS.

Quid hoc rei obsecro? aut unde & quomodo meus
Chremylus tam subito sit dives? non crederem:
Tametsi in tonstrinis sermo de hac re frequens,
Mehercule, erat hominum illic desidentium:
Quod ille repente factus sit ditissimus.
Hoc autem mihi plane novum & mirum accidit:
Quod, fortunatior factus, amicos vocat.
Næ contra Patriæ consuetudinem hoc agit.
CH. *Nihil celabo hominem: sed rem ipsam proloquar.*
O Blepsideme, hodie multo præclarius,
Ac melius nobiscum omnibus agitur, quam heri.
Cujus ego rei te participem fieri volo.
Nam tu unus ex amicorum numero es mihi.
BL. *Esne autem vere, ut ajunt, tam dives modo*
Factus? CH. *Ero jam statim, modo Deus annuat.*
Nam facinus tantum non fit sine periculo.
BL. *Quonam periculo?* CH. *Hoc nimirum.* BL. *Dic obsecro;*
Et ut occepisti, sic tandem perge eloqui.

CH. Si rem pulcre explicatam dederimus; dehinc
Perpetuo erimus fortunati, & prosperrime
Agemus: sin autem decepti, spe irrita,
Exciderimus, penitissime perivimus.
BL. Istbuc grave omnino apparet: mibi non placet,
Nam & sic repente ditari, & hæc interim
Metuere, hominis est, qui nibil admisit boni.
CH. Quomodo nibil boni? BL. Si tu furatus es
Aurum, vel argentum, ex fano hoc Apollinis:
Unde modo prorepis: & nunc facti pœnitet.
CH. Istuc Apollo me probibeat: ego nibil
Quicquam commisi tale hic unquam, per Jovem.
BL. Desiste nugari, bone vir: novi palam.
CH. Noli obsecro, de me ita male suspicarier.
BL. Deus bone, ut nibil quicquam sani est uspiam:
Adeoque omnes ad unum lucro serviunt!
CH. Non tu sat mibi sanus videre, per Deum.
BL. Quam longe à pristinis recessit moribus!
CH. Per cœlum, mi vir, atra te bilis agitat.
BL. Sed neque vultum satis fixum habet: & mobiles
Oculi veteratorium animum palam arguunt.
CH. Novi jam, quo tu hæc crocites: ut mei scilicet
Furti si quod commiserim, partem auferas.
BL. Ego ut partem auferam? cedo cujus nam rei?

CH.

CH. Hoc non ita eſt: nam ego quod ago, longe aliter ſe habet.
BL. Num tu non es furatus, ſed tantummodo
Rapuiſti? CH. Larvæ te atque intemperiæ agitant.
BL. At neque quemquam circumveniſti fraudibus?
CH. Non certe. BL. ô Hercules, quonam ſe quiſpiam
Vertat, ſi tu verum non vis faterier?
CH. Atqui tu me damnas, antequam rem noveris?
BL. At ego, bone vir, negotium hoc modico tibi
Sumptu effectum dabo: & priuſquam civibus
Innoteſcat, jam rabularum os pecunia
Probe obturabo. CH. Atqui per Deos, tu mihi
Talis videre amicus, qui ſi tres minas
Expoſueris, repetiturus ſis duodecim.
BL. Virum ego mi videre videor, qui ſupplicem
Olivæ ramum geſtitans, cum liberis
Et uxore ad tribunal ſedebit: &
A Pamphili Heraclidis, ſi quis conferat,
Ne tantillum quidem, ulla in parte differet.
CH. Nequaquam, homo impuriſſime, ſed tantum bonos
Ego, & gnavos, & frugi reddam divites.
BL. Quid ais? adeone multa ſuffuratus es?
CH. Ah enecas. BL. Tu teipſum, ut mihi videre. CH. Non

Hercle, quandoquidem ego Plutum ipsum, ô scelerum caput,
Domi habeo. BL. Tune Plutum? quem Plutum? CH. Deum.
BL. Ubi is est? CH. Intus. BL. Ubi? CH. Apud me. BL. Apud te? CH. Scilicet.
BL. Abi in malam rem: num nam apud te Plutus est?
CH. Ita me Dii ament. BL. Verane hæc? CH. Verissima.
BL. Per Vestam? CH. Per Neptunum. BL. Num marinum?
CH. Dico, & si est alter Neptunus, per alterum.
BL. Annon etiam ad amicos transmittites tuos?
CH. Res nondum eo rediit. BL. Quid ais? an nondum eo
Res rediit, ut Plutus alio tradatur? CH. Haud
Dum per Jovem, sed oportet prius. BL. Quid prius?
CH. Visum restituere. BL. Cui restituere? dic age.
CH. Pluto, & talem omnino, qualem prius habuit.
BL. Utrum ille vere cæcus est? CH. Ita per Deos.
BL. Non temere est ergo, quod ad me nunquam venerit.
CH. At jam porro veniet, Diis volentibus.
BL. An non oportet medicum aliquem huc adducere?
CH. Quis hac in urbe sit medicus? ubi medicis
Neque

Neque præmium eſt ullum, neque magni ars ipſa fit?

BL. *Videamus.* CH. *At non eſt.* BL. *Neque videtur mihi.*

CH. *Haud ullus eſt, me hercle: ſed, quod dudum ego*
Apud me penſitabam, id longe erit optimum,
Ut in templum ducamus Æſculapii;

BL. *Ita per Deos: atque ideo ne moram trahe:*
Et, ut aliquid perficias, da operam ſedulo.

CH. *Iſthuc eo.* BL. *Propera ocyus.* CH. *At hoc ipſum ago.*

ACTUS II. SCENA IV.

Senarii Jambici.

PAUPERTAS, CHREMYLUS. BLEPSIDEMUS.

O *Facinus audax, impium & nefarium,*
Vos facere aggreſſi homunciones peſſimi:
Quo, quo? quid fugitis? annon reſtitabitis?

CH. *Proh Hercules.* PA. *Ego pol male vos perdam malos.*
Nam facinus auſi eſtis facere intolerabile:
Quale neque ullus Deorum, neque mortalium,
Quiſquam antehac auſus fuit ullo ſeculo:
Quapropter ambo periiſtis nunc illico.

 CH.

CH. Quæ tu es mulier? nam mihi videre luri-da.
BL. Fortasse Erinnys est, aliqua ex Tragœdia:
Quia vultum præ se fert furialem atque Tra-gicum.
CH. At non gestat faces. BL. Ideo pœnas da-bit.
PA. Quam vos putatis me esse? CH. Caupona-riam:
Aut venditricem ovorum: alioqui non ita
Fueras in nos debacchatura, cum tibi
Nulla unquam à nobis illata sit injuria.
PA. Scilicet? annon hæc injuria gravissima,
Quod cogitatis me ejicere omnibus locis?
CH. Imo tibi Barathrum est reliquum. Sed tu, quæ sies,
Age actutum nobis oportet dicere.
PA. Quæ vobis promeritas pœnas hodie infe-ram:
Quod me cupitis de medio insontem tollere.
BL. Quid si hæc foret ista, de fœdis mulier-culis,
Quæ in hac cauponatur vicinia; & suis
Cotylis iniquis semper imponit mihi?
PA. Paupertas ego sum, Paupertas: vestras domos
Quæ multos jam annos, vobiscum servo, & colo.
BL. O Phœbe Apollo, ô Dii! quo quis profu-giat hinc?
CH. Heus tu quid agis? ô timidissimum animal-culum,

Non

Non restitas? BL. Minime omnium. CH. Non restitas,
Inquam? quid hoc? duosne viros mulierculam,
Unam fugitare? BL. Quia enim Paupertas ea est:
Qua non aliud usquam animal pestilentius.
CH. Mane, obsecro, mane. BL. Non maneo, per Jovem.
CH. At tibi ego dico: rem faciemus omnium
Turpissimam, si intus deserto isthoc Deo,
Metu mulierculæ profugiamus alio:
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.
Πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος,
Κῆφα, Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
Πᾶσαν ἀνὰ κράναν, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
(Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)
Ζατεῦσ'· ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
Βώτας μὰν ἐλέγευ· νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
Ὡπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
Τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Καὶ τὺ δ', ἐπεί κ' ἐσορῇς τὰς παρθένος, οἷα γελῶντι,
Τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
Τὼς δ', οὐδὲν ποτελέξαθ' ὁ βουκόλος· ἀλλὰ τὸν αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρη μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα·
Κῆπε. Τὺ θὴν τὸν ἔρωτα κατεύχεο Δάφνι λυγίξειν·
Ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;

Ἀρ-

Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τὰν δ' ἄρα χὼ Δάφνις ποταμείψατο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατὰ, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἄμμι δεδύκειν.
Δάφνις κεἰν Ἀΐδᾳ κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὐ λέγεται τὰν Κύπριν ὁ βουκόλος, ἕρπε ποτ' Ἴδαν,
Ἕρπε ποτ' Ἀγχίσαν· τηνεὶ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία πάντα διώκει.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὖτις ὅπως στάσῃ Διομήδεος ἄσσον ἰοῖσα,
Καὶ λέγε, Τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς·
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ'· ὁ βουκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν ὕλαν,
Οὐκέτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ·
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ Πὰν Πὰν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ' ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγητόν.
Λήγετε βουκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ' ὦναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
Ἐκ κηρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς ἅδαν ἕλκομαι ἤδη.

Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ᾽ ἄκανθαι·
Ἁ δὲ καλὰ νάρκισσος ἐπ᾽ ἀρκεύθοισι κομάσαι·
Πάντα δ᾽ ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι·
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὼς κύνας ὥλαφος ἕλκοι,
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Χὼ μὲν, τόσσ᾽ εἰπὼν ἀπεπαύσατο· τὸν δ᾽ Ἀφροδίτα
Ἤθελ᾽ ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν. χὠ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν μώσαις φίλον ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς μοίσαις. ὦ χαίρετε πολλάκι μοῖσαι,
Χαίρετ᾽· ἐγὼ δ᾽ ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
Πλῆρες δὲ σχαδόνων· καὶ ἀπ᾽ Αἰγίλω ἰσχάδα τρώγοις
Ἀδεῖαν· τέττιγος ἐπεὶ τύγε φέρτερον ᾄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας· θᾶσαι φίλος ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ᾽ ἴθι Κισσαίθα. τὺ δ᾽ ἄμελγέ νιν· αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

ΠΙΝΔΑΡΟΥ ΟΛΥΜΠΙΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩ,

κέλητι.

Εἶδος Α'.

ΑΡΙΣΤΟΝ μὲν ὕδωρ· ὁ δὲ
χρυσὸς, αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυ-
κτὶ, μεγάνορος ἔξοχα πλούτου.
εἰ δ' ἄεθλα γαρύεν
ἔλδεαι φίλον ἦτορ,
μηκέθ' ἁλίου σκόπει
ἄλλο θαλπνότερον
ἐν ἁμέρᾳ φαεινὸν ἄστρον
ἐρήμας δι' αἰθέρος·
μηδ' ὀλυμπίας ἀγῶνα
φέρτερον αὐδάσομεν.
ὅθεν ὁ πολύφατος
ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσι, κελαδεῖν
Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνος ἑστίαν·

ΑΝΤΙΣΤΡ. α'. ΚΩ. ιζ.

θεμιστεῖον ὃς ἀμφέπει

σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, δρέπων μὲν
κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ
τράπεζαν. ἀλλὰ δωρίαν ἀ-
πὸ φόρμιγγα πασσάλου
λάμβαν', εἴ τι τοι Πίσας τε
καὶ Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτά-
ταις ἔθηκε φροντίσιν·
ὅτε παρ' Ἀλφεῷ σύτο, δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

ΕΠΩ. α΄. ΚΩ. ιγ.

Συρακόσιον ἱπποχάρμαν
βασιλῆα. λάμπει
δέ οἱ κλέος παρ' εὐάνορι Λυδοῦ
*Πέλοπος ἀποικίᾳ· τοῦ μεγασθενὴς
ἐράσσατο γαιάοχος Ποσειδᾶν,
ἐπεί νιν καθαροῦ λέβητος ἔξελεν
Κλωθὼ, ἐλέφαντι φαίδιμον
ὦμον κεκαδμένον.
ἦ θαύματα πολλά.
καί πού τι καὶ βροτῶν φρένας,
ὑπὲρ τὸν ἀληθῆ λόγον,
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις
ἐξαπατῶντι μῦθοι.

ΣΤΡΟ.

ΣΤΡΟ. β'. ΚΩ. ι'

χάρις δ' ἅπερ ἅπαντα τεύ-
χει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν,
καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις.
ἁμέραι δ' ἐπίλοιποι,
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν
ἐοικὸς ἀμφὶ δαιμόνων κα-
λά. μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ' ἀντί-
α προτέρων φθέγξομαι.
ὁπότ' ἐκάλεσε πα-
τὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον, φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' ἀγλαοτρίαιναν ἁρπάσαι,

ΑΝΤΙΣΤΡ. β'. ΚΩ. ιζ.

δαμέντα φρένας ἱμέρῳ,
χρυσέαισί τ' ἂν ἵπποις,
ὕπατον εὐρυτίμου
ποτὶ δῶμα Διὸς μεταβᾶσαι.
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπε-
λες, οὐδὲ ματρὶ πολλὰ μαιό-

μενοι φῶτες ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἀμφ' ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ-δεύτατα κρεῶν
σέθεν διεδάσαντο, καὶ φάγον.

ΕΠΩ. β'. ΚΩ. ιγ.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον
μακάρων τιν' εἰπεῖν.
ἀφίσταμαι. ἀκέρδεια λέλογχε
θαμινὰ κακαγόρως. εἰ δὲ δή τιν' ἄν-
δρα θνατὸν ὀλύμπου σκοποὶ ἐτίμα-
σαν, ἦν Τάνταλος οὗτος. ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-
νάσθη· κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον,
τάν οἱ πατὴρ ὑπερκρέμα-
σε, καρτερὸν αὐτῷ λίθον·
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν,
εὐφροσύνας ἀλᾶται.

ΣΤΡΟΦΗ Γ. ΚΩ. ιζ.

ἔχει δ' ἀπάλαμον βίον
τοῦτον, ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον
πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις

νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
θέσαν· εἰ δὲ θεὸν
ἀνήρ τις ἔλπεταί τι λασέ-
μεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν
ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον
αὖθις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ', ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον,

ΑΝΤΙΣΤΡ. γ'. ΚΩ. ιζ.

Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ἱπποδάμειαν
σχεθέμεν. ἄγχι δ' ἐλθὼν
πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν. ὁ δ' αὐτῷ
πὰρ ποσὶ σχεδὸν φάνη·
τῷ μὲν εἶπε, Φίλι-
α δῶρα Κυπρίας ἄγ' εἴ τι
Ποσείδαον ἐς χάριν
τέλλεται, πέδασον ἔγχος
Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτά-
των πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσαις
ἐρῶντας, ἀναβάλλεται γάμον

ΕΠΩ.

ΕΠΩ. γ'. ΚΩ. ιγ'.

θυγατρός. ὁ μέγας δὲ κίνδυ-
νος ἄναλκιν οὐ φῶ-
τα λαμβάνει. θανεῖν δ' οἷσιν ἀνάγκα,
τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
καθήμενος ἕψοι μάταν, ἁπάντων
καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος
ἄθλος γ' ὑποκείσεται, τὺ δὲ
πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀ-
κράντοις ἐφάψατ' ὦν ἔπεσ-
σι. τὸν μὲν ἀγάλλων θεὸς,
ἔδωκεν δίφρον χρύσεον, ἐν πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

ΣΤΡΟ. δ'. ΚΩ. ιζ'.

ἕλεν δ' Οἰνομάου βίαν,
παρθένον τε σύνευνον.
τέκε δὲ λαγέτας ἕξ,
ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον
ἔχων πολυξενωτάτῳ πα-
ρὰ βωμῷ· τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀ-
λυμπιάδων, ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυ-

τὰς

τὰς ποδῶν ἐρίζεται,
ἀκμαί τ' ἰσχύος θρασύπονοι.
ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν,

ΑΝΤΙΣΤΡ. δ. ΚΩ. ιζ.

ἀέθλων γ' ἕνεκεν. τὸ δὲ ἀ-
εὶ παράμερον ἐσλὸν,
ὕπατον ἔρχεται παν-
τὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππικῷ νόμῳ
αἰοληΐδι μολπᾷ
χρή. πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα
καλῶν τι ἴδριν ἄλλον ἢ δύ-
ναμιν κυριώτερον,
τῶν γε νῦν, κλυταῖσι δαιδα-
λωσέμεν ὕμνων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐ-
ὼν, τεαῖσι μήδεται
ἔχων τοῦτο κῆδος Ἱέρων
μερίμναισιν. εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

ΕΠΩ. δ. ΚΩ. ιγ.

σὺν ἅρματι θοῷ κλεΐξειν,
ἐπίκουρον εὑρὼν
ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
Κρόνιον. ἐμοὶ μὲν ὦν μοῖσα καρτερώ-
τατον βέλος ἀλκᾷ τρέφει. ἐπ' ἄλλοι-

π

σι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυ-
φοῦται βασιλεῦσι. μηκέτι
πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον
ὑψοῦ χρόνον πατεῖν, ἐμέ
τε τοσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ. καθ' ἕλ-
λανας ἐόντα παντᾷ.

ΗΡΟΔΟΤΟΥ

ΤΟΥ

ΑΛΙΚΑΡΝΑΣΣΗΟΣ

ΙΣΤΟΡΙΑ·

Ἡ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛΙΟΙ Θ΄,

Ἐπιγραφόμεναι ΜΟΥΣΑΙ.

ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ,

Ἐπιγραφομένη ΚΛΕΙΩ.

ΗΡΟΔΟΤΟΥ Ἀλικαρνασσῆος ἱστορίης ἀπόδεξις ἥδε· ὡς μήτε τὰ γινόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωϋμαστὰ, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισιν ἀποδεχθέντα, ἀκλεᾶ γένηται· τά τε ἄλλα, καὶ δι᾽ ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι. Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας φασὶ γενέσθαι τῆς διαφορῆς αἰτίους. τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν, καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσιν, αὐτίκα ναυτιλίῃσι μακρῇσιν ἐπιθέσθαι. ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια, τῇ τε ἄλλῃ χώρῃ ἐσαπικνέεσθαι, καὶ δὴ καὶ ἐς Ἄργος. τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχεν ἅ-

πασι

πᾶσι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ. ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο, διατίθεσθαι τὸν φόρτον. πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας, ἄλλας τε πολλὰς, καὶ δὴ καὶ τοῦ βασιλῆος θυγατέρα. τὸ δέ οἱ οὔνομα εἶναι κατὰ τὠυτὸ τὸ καὶ Ἕλληνες λέγουσιν, Ἰοῦν τὴν Ἰνάχου. ταύτας στάσας κατὰ πρύμνην τῆς νηὸς, ὠνέεσθαι τῶν φορτίων τῶν σφίν ἦν θυμὸς μάλιστα· καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγέειν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσιν ἁρπασθῆναι. ἐσβαλομένους δὲ ἐς τὴν νέα, οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου. Οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες· καὶ τῶν ἀδικημάτων τοῦτο ἄρξαι πρῶτον. μετὰ δὲ ταῦτα, Ἑλλήνων τινὰς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσσχόντας, ἁρπάσαι τοῦ βασιλῆος τὴν θυγατέρα Εὐρώπην. (εἴησαν δ' ἂν οὗτοι Κρῆτες) ταῦτα δὴ ἴσα σφι πρὸς ἴσα γενέσθαι· μετὰ δὲ ταῦτα, Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. καταπλώσαντας γὰρ μακρῇ νηὶ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμὸν, ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκοντο, ἁρπάσαι τοῦ βασιλῆος τὴν θυγατέρα Μηδείην. Πέμψαντα δὲ τὸν Κόλχων βασιλῆα ἐς τὴν Ἑλλάδα κήρυκα, αἰτέειν τε δίκας τῆς ἁρπαγῆς, καὶ ἀπαιτέειν τὴν θυγατέρα· τοὺς δὲ ὑποκρίνασθαι, ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι. Δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν Πριάμου, ἀκηκοότα ταῦτα, ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ ἐκείνους διδόναι. οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην, τοῖσι Ἕλλησι δόξαι, πρῶτον πέμψαντας ἀγγέλους, ἀπαιτέειν τε Ἑλένην, καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. τοὺς δὲ, προϊσχομένων ταῦτα, προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν.

γήν. ὡς οὐ δόντες αὐτοὶ δίκας, οὐδὲ ἐκδόντες ἀπαιτεόντων, βουλοίατό σφι παρ' ἄλλων δίκας γίνεσθαι; Μέχρι μὲν ὦν τούτων, ἁρπαγὰς μούνας εἶναι παρ' ἀλλήλων· τὸ δὲ ἀπὸ τούτου, Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι. προτέρους γὰρ ἄρξαι στρατεύεσθαι ἐς τὴν Ἀσίην, ἢ σφέας ἐς τὴν Εὐρώπην. τὸ μὲν νυν ἁρπάζειν γυναῖκας, ἀνδρῶν ἀδίκων ἔργον νομίζειν εἶναι· τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν, ἀνοήτων· τὸ δὲ μηδεμίαν ὤρην ἔχειν ἁρπασθεισέων, σωφρόνων· δῆλα γὰρ δὴ ὅτι εἰ μὴ αὐταὶ ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο. σφέας μὲν δὴ τοὺς ἐκ τῆς Ἀσίης λέγουσι Πέρσαι ἁρπαζομένων τῶν γυναικῶν λόγον οὐδένα ποιήσασθαι. Ἕλληνας δὲ Λακεδαιμονίης εἵνεκεν γυναικὸς στόλον μέγαν συναγεῖραι, καὶ ἔπειτα ἐλθόντας ἐς τὴν Ἀσίην, τὴν Πριάμου δύναμιν κατελεῖν· ἀπὸ τούτου τε αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσιν εἶναι πολέμιον. τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκειεῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἥγηνται κεχωρίσθαι. Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου ἅλωσιν εὑρίσκουσι σφίσιν ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς ἐς τοὺς Ἕλληνας. περὶ δὲ τῆς Ἰοῦς οὐκ ὁμολογέουσι Πέρσῃσιν οὕτω Φοίνικες· οὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένους λέγουσιν ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργεϊ ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νηός· ἐπεὶ δὲ ἔμαθεν ἔγκυος ἐοῦσα, αἰδεομένη τοὺς τοκέας, οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται. ταῦτα μέν νυν Πέρσαι τε καὶ Φοίνικες λέγουσιν. ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέων ὡς οὕτως ἢ ἄλλως κως ταῦτα ἐγένετο· τὸν δὲ οἶδα αὐτὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τοὺς Ἕλληνας, τοῦτον σημήνας, προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου, ὁμοίως μικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών. τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε· τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά. τὴν ἀνθρωπηίην ὦν ἐπιστάμενος εὐδαι-

μονίην οὐδαμὰ ἐν τὠυτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

ΚΡΟΙΣΟΣ ἦν Λυδὸς μὲν τὸ γένος, παῖς δὲ Ἀλυάττεω· τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσαμβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων, ἐξίει πρὸς Βορῆν ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον. οὗτος ὁ Κροῖσος, βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν, τοὺς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγὴν, τοὺς δὲ, φίλους προσεποιήσατο. κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας, καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ· φίλους δὲ προσεποιήσατο Λακεδαιμονίους. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι. τὸ γὰρ Κιμμερίων στράτευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον, Κροίσου ἐὸν πρεσβύτερον, οὐ καταστροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή. Ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθεν, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τὸ Κροίσου, καλεομένους δὲ Μερμνάδας. ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσίλον καλέουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος. Ἄγρων μὲν γὰρ ὁ Νίνου, τοῦ Βήλου, τοῦ Ἀλκαίου, πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων· Κανδαύλης δὲ ὁ Μύρσου, ὕστατος. οἱ δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης, ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος· ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς οὗτος, πρότερον Μηΐων καλεόμενος. παρὰ τούτων δὲ Ἡρακλεῖδαι ἐπιτραφθέντες, ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος· ἄρξαντες ἐπὶ δύο καὶ εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχὴν, μέχρι Κανδαύλεω τοῦ Μύρσου. Οὗτος δὴ ὦν ὁ Κανδαύλης ἠράσθη τῆς ἑωυτοῦ γυναικός· ἐρασθεὶς δὲ, ἐνόμιζέ οἱ εἶναι γυναῖκα πολλὸν πασέων καλλίστην. ὥστε δὲ ταῦτα νομίζων· ἦν γάρ οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλου ἀρεσκόμενος μάλιστα, τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερε-

τί-

ἐτίθετο ὁ Κανδαύλης, καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων. χρόνου δὲ οὐ πολλοῦ διελθόντος (χρῆν γὰρ Κανδαύλῃ γενέσθαι κακῶς) ἔλεγε πρὸς τὸν Γύγην τοιάδε, Γύγη, οὐ γάρ σε δοκέω πείθεσθαί μοι λέγοντι περὶ τοῦ εἴδεος τῆς γυναικός (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν) ποίεε ὅκως ἐκείνην θεήσεαι γυμνήν. ὁ δὲ, μέγα ἀμβώσας, εἶπε, Δέσποτα, τίνα λέγεις λόγον οὐκ ὑγιέα, κελεύων με δέσποιναν τὴν ἐμὴν θεήσασθαι γυμνήν; ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή. πάλαι δὲ τὰ καλὰ ἀνθρώποισι ἐξεύρηται, ἐκ τῶν μανθάνειν δεῖ. ἐν τοῖσιν ἓν τόδε ἐστί, τινὰ σκοπέειν τὰ ἑωυτοῦ. ἐγὼ δὲ πείθομαι ἐκείνην εἶναι πασέων γυναικῶν καλλίστην, καὶ σέο δέομαι μὴ δέεσθαι ἀνόμων. Ὁ μὲν δὴ, λέγων τοιαῦτα, ἀπεμάχετο, ἀρρωδέων μή τι οἱ ἐξ αὐτέων γένηται κακόν. ὁ δὲ ἀμείβετο τοιάδε, Θάρσει Γύγη, καὶ μὴ φοβεῦ μήτε ἐμὲ, ὥς σεο πειρώμενον λέγω λόγον τόνδε· μήτε γυναῖκα τὴν ἐμὴν, μή τι τοι ἐξ αὐτῆς γένηται βλάβος. ἀρχὴν γὰρ ἐγὼ μηχανήσομαι οὕτως ὥστε μηδὲ μαθεῖν μιν ὀφθεῖσαν ὑπὸ σεῦ. ἐγὼ γάρ σε ἐς τὸ οἴκημα ἐν τῷ κοιμώμεθα, ὄπισθε τῆς ἀνοιγομένης θύρης στήσω. μετὰ δ' ἐμὲ ἐσελθόντα, παρέσται καὶ ἡ γυνὴ ἡ ἐμὴ ἐς κοιτῶνα. κέεται δὲ ἀγχοῦ τῆς ἐσόδου θρόνος· ἐπὶ τοῦτον τῶν ἱματίων κατὰ ἓν ἕκαστον ἐκδύνουσα θήσει, καὶ κατ' ἡσυχίην πολλὴν παρέξει τοι θεήσασθαι. ἐπεὰν δὲ ἀπὸ τοῦ θρόνου στείχῃ ἐπὶ τὴν εὐνὴν, κατὰ νώτου τε αὐτῆς γένῃ, σοὶ μελέτω τὸ ἐνθεῦτεν ὅκως μή σε ὄψεται ἰόντα διὰ τῶν θυρέων. Ὁ μὲν δὴ, ὡς οὐκ ἠδύνατο διαφυγέειν, ἦν ἕτοιμος. ὁ δὲ Κανδαύλης, ἐπεὶ ἐδόκεε ὥρη τῆς κοίτης εἶναι, ἤγαγε τὸν Γύγεα ἐς τὸ οἴκημα· καὶ μετὰ ταῦτα αὐτίκα παρῆν καὶ ἡ γυνή. ἐσελθοῦσαν δὲ καὶ τιθεῖσαν τὰ εἵματα ἐθηῆτο ὁ Γύγης. ὡς δὲ κατὰ νώτου ἐγένετο, ἰούσης τῆς γυναικὸς ἐς τὴν κοίτην, ὑπεκδὺς ἐχώρεε ἔξω. καὶ ἡ γυνὴ ὁρᾷ μιν ἐξιόντα. μαθοῦσα δὲ τὸ ποιηθὲν ἐκ τοῦ ἀνδρὸς, οὔτε ἀνέβωσεν, αἰσχυνθεῖσα, οὔτε ἐδο-

ξε μαθεῖν, ἐν νόῳ ἔχουσα τίσασθαι τὸν Κανδαύλεα. παρὰ γὰρ τοῖσι Λυδοῖσι, σχεδὸν δὲ καὶ παρὰ τοῖσι ἄλλοισι βαρβάροισι, καὶ ἄνδρα ὀφθῆναι γυμνὸν, αἰσχύνην μεγάλην φέρει. Τότε μὲν δὴ οὕτως, οὐδὲν δηλώσασα, ἡσυχίην εἶχεν· ὡς δὲ ἡμέρη τάχιστα ἐγεγόνεε, τῶν οἰκετέων τοὺς μάλιστα ὥρα πιστοὺς ἐόντας ἑωυτῇ, ἑτοίμους ποιησαμένη, ἐκάλεε τὸν Γύγεα. ὁ δὲ, οὐδὲν δοκέων αὐτὴν τῶν πρηχθέντων ἐπίστασθαι, ἦλθε καλεόμενος. ἐώθεε γὰρ καὶ πρόσθεν, ὅκως ἡ βασίλεια καλέοι, φοιτᾷν. ὡς δὲ ὁ Γύγης ἀπίκετο, ἔλεγε ἡ γυνὴ τάδε, Νῦν τοι δυοῖν ὁδοῖν παρεουσέων, Γύγη, δίδωμι αἵρεσιν, ὁκοτέρην βούλεαι τραπέσθαι. ἢ γὰρ Κανδαύλεα ἀποκτείνας, ἐμέ τε καὶ τὴν βασιληίην ἔχε τὴν Λυδῶν, ἢ αὐτόν σε αὐτίκα οὕτως ἀποθνήσκειν δεῖ· ὡς ἂν μὴ πάντα πειθόμενος Κανδαύλῃ, τοῦ λοιποῦ ἴδῃς τὰ μή σε δεῖ. ἀλλ' ἤτοι κεῖνόν γε τὸν ταῦτα βουλεύσαντα δεῖ ἀπόλλυσθαι, ἢ σὲ τὸν ἐμὲ γυμνὴν θηησάμενον, καὶ ποιήσαντα οὐ νομιζόμενα. ὁ δὲ Γύγης τέως μὲν ἀπεθώμαζε τὰ λεγόμενα· μετὰ δὲ, ἱκέτευε μή μιν ἀναγκαίῃ ἐνδέειν διακρῖναι τοιαύτην αἵρεσιν. οὐκ ὦν δὴ ἔπειθε, ἀλλ' ὥρα ἀναγκαίην ἀληθέως προκειμένην, ἢ τὸν δεσπότεα ἀποκτείνειν, ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυσθαι. αἱρέεται αὐτὸς περιεῖναι. ἐπειρώτα δὴ λέγων τάδε, Ἐπεί με ἀναγκάζεις δεσπότεα τὸν ἐμὸν κτείνειν, οὐκ ἐθέλοντα, φέρε ἀκούσω τίνι καὶ τρόπῳ ἐπιχειρήσωμεν αὐτῷ. ἡ δὲ, ὑπολαβοῦσα ἔφη, Ἐκ τοῦ αὐτοῦ μὲν χωρίου ἡ ὁρμὴ ἔσται ὅθεν περ καὶ ἐκεῖνος ἐμὲ ἐπεδέξατο γυμνήν· ὑπνωμένῳ δὲ ἡ ἐπιχείρησις ἔσται. Ὡς δὲ ἤρτυσαν τὴν ἐπιβουλὴν, νυκτὸς γενομένης, (οὐ γὰρ μετίετο ὁ Γύγης, οὐδέ οἱ ἦν ἀπαλλαγὴ οὐδεμίη, ἀλλ' ἔδεε ἢ αὐτὸν ἀπολωλέναι, ἢ Κανδαύλεα) εἵπετο ἐς τὸν θάλαμον τῇ γυναικί· καί μιν ἐκείνη, ἐγχειρίδιον δοῦσα, κατακρύπτει ὑπὸ τὴν αὐτὴν θύρην. καὶ μετὰ ταῦτα, ἀναπαυομένου Κανδαύλεω, ὑπεισδύς τε καὶ ἀποκτείνας αὐτὸν, ἔσχε καὶ τὴν γυναῖκα καὶ τὴν βασιληίην Γύ-

γης

γης· τοῦ καὶ Ἀρχίλοχος ὁ Πάριος, κατὰ τὸν αὐτὸν χρό-
νον γενόμενος, ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη. Ἔσχε δὲ
τὴν βασιληίην, καὶ ἐκρατύνθη ἐκ τοῦ ἐν Δελφοῖσι χρηστηρίου.
ὡς γὰρ δὴ οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Κανδαύλεω πάθος,
καὶ ἔνοπλοι ἦσαν, συνέβησαν ἐς τὠυτὸ οἵ τε τοῦ Γύγεω στα-
σιῶται καὶ οἱ λοιποὶ Λυδοί, ἢν μὲν δὴ τὸ χρηστήριον ἀνέλῃ
μιν βασιλέα εἶναι τῶν Λυδῶν, τόνδε βασιλεύειν· ἢν δὲ μή,
ἀποδοῦναι ὀπίσω ἐς Ἡρακλείδας τὴν ἀρχήν. ἀνεῖλέ τε δὴ τὸ
χρηστήριον. καὶ ἐβασίλευσεν οὕτω Γύγης. τοσόνδε μέντοι εἶπεν
ἡ Πυθίη, ὡς Ἡρακλείδῃσι τίσις ἥξει ἐς τὸν πέμπτον ἀπόγονον
Γύγεω. τούτου τοῦ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον
οὐδένα ἐποιεῦντο, πρὶν δὴ ἐπετελέσθη. Τὴν μὲν δὴ τυραννί-
δα οὕτως ἔσχον οἱ Μερμνάδαι, τοὺς Ἡρακλείδας ἀπελόμενοι.
Γύγης δὲ τυραννεύσας ἀπέπεμψεν ἀναθήματα ἐς Δελφοὺς οὐκ
ὀλίγα· ἀλλ' ὅσα μὲν ἀργύρου ἀναθήματα, ἔστιν οἱ πλεῖστα ἐν
Δελφοῖσι· πάρεξ δὲ τοῦ ἀργύρου, χρυσὸν ἄπλετον ἀνέθηκεν,
ἄλλον τε, καὶ τοῦ μάλιστα μνήμην ἄξιον ἔχειν ἐστί, κρητῆ-
ρές οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀνακέαται. ἑστᾶσι δὲ οὗτοι ἐν τῷ
Κορινθίων θησαυρῷ, σταθμὸν ἔχοντες τριήκοντα τάλαντα.
ἀληθέϊ δὲ λόγῳ χρεωμένῳ, οὐ Κορινθίων τοῦ δήμου ἐστὶν ὁ
θησαυρός, ἀλλὰ Κυψέλου τοῦ Ἠετίωνος. οὗτος δὴ ὁ Γύγης,
πρῶτος βαρβάρων τῶν ἡμεῖς ἴδμεν, ἐς Δελφοὺς ἀνέθηκεν
ἀναθήματα, μετὰ Μίδην τὸν Γορδίεω, τῆς Φρυγίης βασιλῆα.
ἀνέθηκε γὰρ δὴ καὶ Μίδης τὸν βασιλήιον θρόνον, ἐς τὸν προ-
κατίζων ἐδίκαζεν, ἐόντα ἀξιοθέητον. κεῖται δὲ ὁ θρόνος
οὗτος ἔνθα περ οἱ τοῦ Γύγεω κρητῆρες. ὁ δὲ χρυσὸς οὗτος καὶ
ὁ ἄργυρος τὸν ὁ Γύγης ἀνέθηκεν, ὑπὸ Δελφῶν καλέεται Γυ-
γάδας, ἐπὶ τοῦ ἀναθέντος ἐπωνυμίην. ἐσέβαλε μὲν νυν καὶ
οὗτος στρατιὴν, ἐπεί τε ἦρξεν, ἔς τε Μίλητον καὶ ἐς Σμύρ-
νην, καὶ Κολοφῶνος τὸ ἄστυ εἷλεν, ἀλλ' οὐδὲν γὰρ μέγα ἔρ-
γον ἀπ' αὐτοῦ ἄλλο ἐγένετο. βασιλεύσαντος δυῶν δέοντα
τεσσεράκοντα ἔτεα. τοῦτον μὲν παρήσομεν, τοσαῦτα ἐπιμνη-

θέντες. Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος δὲ Πριηνέας τε εἷλεν, ἐς Μίλητόν τε ἐσέβαλεν. ἐπὶ τούτου τε τυραννεύοντος Σαρδίων, Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναστάντες, ἀπικέατο ἐς τὴν Ἀσίην, καὶ Σάρδις πλὴν τῆς ἀκροπόλιος εἷλον. Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα πεντήκοντα ἔτεα, ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτεα δυώδεκα. Σαδυάττεω δὲ, Ἀλυάττης. οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε, καὶ Μήδοισι. Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε. Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλεν, ἐς Κλαζομενάς τε ἐσέβαλεν. ἀπὸ μέν νυν τούτων οὐκ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως. ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. Ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τοῦ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκησε τὴν Μίλητον τρόπῳ τοιῷδε. ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρός, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν. ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων, καὶ αὐλοῦ γυναικηΐου τε καὶ ἀνδρηΐου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν οὔτε κατέβαλλεν, οὔτε ἐνεπίμπρη, οὔτε θύρας κατέσπα, ἔα δὲ κατὰ χώρην ἑστάναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειεν, ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε ἐπέδρης μὴ εἶναι ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλλεν ὁ Λυδός, τῶνδε εἵνεκα, ὅκως ἔχοιεν ἐνθεῦτεν ὁρμώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι· αὐτὸς δέ, ἐκείνων ἐργαζομένων, ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. Ταῦτα ποιέων, ἐπολέμεε ἔτεα ἕνδεκα· ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηΐῳ χώρης τῆς σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ. τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἄρδυος ἔτι Λυδῶν ἦρχε, ὁ καὶ ἐσβαλὼν τηνικαῦτα ἐς τὴν Μιλησίην τὴν στρα-

στρατιήν. (Σαδυάττης γὰρ ἔτος καὶ ὁ τὸν πόλεμον ἦν συνάψας) τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἑπόμενα τοῖσιν ἕξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε. ὃς παραδεξάμενος (ὡς καὶ πρότερόν μοι δεδήλωται) παρὰ τοῦ πατρὸς τὸν πόλεμον, προσεῖχε ἐντεταμένως. τοῖσι δὲ Μιλησίοισι οὐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον συνεπελάφρυνον, ὅτι μὴ Χῖοι μοῦνοι. οὗτοι δὲ τὸ ὅμοιον ἀνταποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ Μιλήσιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυθραίους πόλεμον συνδιήνεικαν.

Τῷ δὲ δυωδεκάτῳ ἔτεϊ λήϊου ἐμπιπραμένου ὑπὸ τῆς στρατιῆς, συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα· ὡς ἅφθη τάχιστα τὸ λήϊον ἀνέμῳ βιώμενον, ἅψατο νηοῦ Ἀθηναίης, ἐπίκλησιν Ἀσσησίης. ἀφθεὶς δὲ ὁ νηὸς κατεκαύθη· καὶ τὸ παραυτίκα μὲν λόγος οὐδεὶς ἐγένετο, μετὰ δὲ, τῆς στρατιῆς ἀπικομένης ἐς Σάρδις, ἐνόσησεν ὁ Ἀλυάττης. μακροτέρης δέ οἱ γινομένης τῆς νούσου, πέμπει ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλεύσαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε πέμψαντι τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου. τοῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν πρὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώσωσι τὸν ἐνέπρησαν χώρης τῆς Μιλησίης ἐν Ἀσσησῷ. Δελφῶν οἶδα ἐγὼ οὕτω ἀκούσας γενέσθαι. Μιλήσιοι δὲ τάδε προστιθεῖσι τούτοισι, Περίανδρον τὸν Κυψέλου ἐόντα Θρασυβούλῳ τῷ τότε Μιλήτου τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα, πυθόμενον τὸ χρηστήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγελον κατειπεῖν, ὅκως ἄν τι προειδὼς πρὸς τὸ παρὸν βουλεύηται. Μιλήσιοι μέν νυν οὕτω λέγουσι γενέσθαι. Ἀλυάττης δὲ, ὥς οἱ ταῦτα ἐξηγγέλθη, αὐτίκα ἔπεμπε κήρυκας ἐς Μίλητον, βουλόμενος σπονδὰς ποιήσασθαι Θρασυβούλῳ τε καὶ Μιλησίοισι χρόνον ὅσον ἂν τὸν νηὸν οἰκοδομῇ. ὁ μὲν δὴ ἀπόστολος ἐς τὴν Μίλητον ἦν· Θρασύβουλος δὲ σαφέως προπεπυσμένος πάντα λόγον, καὶ εἰδὼς τὰ Ἀλυάττης μέλλοι ποιήσειν, μηχανᾶται τοιάδε· ὅσος ἦν ἐν τῷ ἄστεϊ σῖτος καὶ ἑωυτοῦ καὶ ἰδιωτικὸς, τοῦτον ἅπαντα συναγαγὼν ἐς τὴν ἀγο-

ῥίῳ, προεῖπε Μιλησίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε πίνειν τε πάντας καὶ κώμῳ χρῆσθαι ἐς ἀλλήλους. Ταῦτα δὲ ἐποίεέ τε καὶ προηγόρευε Θρασύβουλος, τῶνδε εἵνεκα, ὅκως ἂν δὴ ὁ κῆρυξ ὁ Σαρδιηνὸς, ἰδών τε σωρὸν μέγαν σίτου κεχυμένον, καὶ τοὺς ἀνθρώπους ἐν εὐπαθείῃσι ἐόντας, ἀγγείλῃ Ἀλυάττῃ. τὰ δὴ καὶ ἐγένετο. ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα ὁ κῆρυξ, καὶ εἰπὼν πρὸς Θρασύβουλον τὰς ἐντολὰς τοῦ Λυδοῦ, ἀπῆλθεν ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' οὐδὲν ἄλλο ἐγένετο ἡ διαλλαγή. ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτοδείην τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ, καὶ τὸν λεὼν τετρῦσθαι ἐς τὸ ἔσχατον κακοῦ, ἤκουε τοῦ κήρυκος νοστήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους ἢ ὡς αὐτὸς κατεδόκεε. μετὰ δὲ, ἥ τε διαλλαγή σφι ἐγένετο ἐπ' ᾧτε ξείνους ἀλλήλοισι εἶναι καὶ ξυμμάχους. καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ ᾠκοδόμησεν ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου ἀνέστη. καὶ τὰ μὲν κατὰ τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβουλον πόλεμον Ἀλυάττῃ ὧδε ἔσχε. Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυβούλῳ τὸ χρηστήριον μηνύσας· ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου, τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δέ σφι Λέσβιοι) ἐν τῷ βίῳ θῶμα μέγιστον παραστῆναι. Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον, πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ· Τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην, ἐργασάμενον δὲ χρήματα μεγάλα, θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι. ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι, μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων· τοὺς δὲ ἐν τῷ πελάγει ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, ἔχειν τὰ χρήματα. τὸν δὲ, συνιέντα τοῦτο, λίσσε-

σθαι,

σθαι, χρήματα μὲν προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον. οὔκων δὴ πείθειν αὐτὸν τούτοισι. ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾶν ἐς τὴν θάλασσαν τὴν ταχίστην. ἀπειληθέντα δὲ τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιϊδέειν αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι ἀεῖσαι· ἀείσας δὲ, ὑπεδέκετο ἑωυτὸν κατεργάσασθαι. καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν, εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. τὸν δὲ, ἐνδύντα τε πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι, διεξελθεῖν νόμον τὸν ὄρθιον. τελευτῶντος δὲ τοῦ νόμου, ῥῖψαί μιν ἐς τὴν θάλασσαν ἑωυτὸν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ. καὶ τοὺς μὲν ἀποπλέειν ἐς τὴν Κόρινθον· τὸν δὲ, δελφῖνα λέγουσι ὑπολαβόντα, ἐξενεῖκαι ἐς Ταίναρον. ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ. καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν, οὐδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων. ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς, κληθέντας, ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ τὴν Ἰταλίην, καί μιν εὖ πρήσσοντας λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοὺς, ἐκπλαγέντας, οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι. ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι. καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος. Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διενείκας, μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα. ἀνέθηκε δὲ, ἐκφυγὼν τὴν νοῦσον δεύτερος οὗτος τῆς οἰκίης ταύτης, ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν, καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητὸν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων· Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου

κόλπον ἐξέδρε. Τελευτήσαντος δὲ Ἀλυάττεω, ἐξεδέξατο τὴν βασιληΐην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα· ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ' αὐτοῦ, ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος. ἔστι δὲ μεταξὺ τῆς παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ, ἑπτὰ στάδιοι. πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος· μετὰ δὲ, ἐν μέρεϊ ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτέων, καὶ φαῦλα ἐπιφέρων. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο ἐς φόρου ἀπαγωγὴν, τὸ ἐνθεῦτεν ἐπενόεε, νέας ποιησάμενος, ἐπιχειρέειν τοῖσι νησιώτῃσι. ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ, Πιττακὸν τὸν Μιτυληναῖον. εἰρομένου δὲ Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε, καταπαῦσαι τὴν ναυπηγίην, Ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἔχοντες ἐν νῷ στρατεύεσθαι. Κροῖσον δὲ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν, Αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι. τὸν δὲ, ὑπολαβόντα φάναι, Ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ, εἰκότα ἐλπίζων. νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἐπεί τε τάχιστα ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν ἀρᾶσθαι Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις; κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ· καί οἱ (προσφυέως γὰρ δόξαι λέγειν) πειθόμενον, παύσασθαι τῆς ναυπηγίης· καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι ξεινίην συνεθήκατο. Χρόνου δὲ ἐπιγινομένου, καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων.

πλὴν

πλὴν γὰρ Κιλίκων καὶ Λυκίων, τοὺς ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε καταστρεψάμενος ὁ Κροῖσος. εἰσὶ δὲ οἵδε, Λυδοί, Φρύγες, Μυσοί, Μαριανδυνοί, Χάλυβες, Παφλαγόνες, Θρήϊκες, οἱ Θυνοί τε καὶ Βιθυνοί, Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες, Πάμφυλοι. Κατεστραμμένων δὲ τούτων, καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτῶν ἀπικνέοιτο· καὶ δὴ καὶ Σόλων, ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας, ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα μὴ δή τινα τῶν νόμων ἀναγκασθῇ λύσῃ τῶν ἔθετο. αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι. ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται. Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκα, ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. ἀπικόμενος δέ, ἐξεινίζετο ἐν τοῖσι βασιληΐοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυρούς, καὶ ἐπεδείκνυον πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. θεησάμενον δέ μιν τὰ πάντα ἐόντα μεγάλα τε, καὶ σκεψάμενον ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε, Ξεῖνε Ἀθηναῖε. παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλός, καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης. ὡς φιλοσοφέων, γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπείρεσθαί με ἐπῆλθέ σε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον. ὁ μέν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπειρώτα· Σόλων δέ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος, λέγει, Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον. ἀποθωυμάσας δὲ Κροῖσος τὸ λεχθέν, εἴρετο ἐπιστρεφέως, Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; ὁ δὲ εἶπε, Τέλλῳ τούτῳ μέν, τῆς πόλιος εὖ ἡκούσης, παῖδες ἦ-

σαν

σαν καλοί τε κἀγαθοί, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα παραμείναντα. ἐς τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο. γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇ περ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως. Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον, εἴπας πολλά τε καὶ ὄλβια, ἐπειρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι· δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. ὁ δὲ εἶπε Κλέοβίν τε καὶ Βίτωνα. τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν, καὶ πρὸς τούτῳ, ῥώμη σώματος τοιήδε, ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἔσαν. καὶ δὴ καὶ λέγεται ὅδε λόγος· ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι, ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν· οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ. ἐκκληϊόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι, ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν. ἐπὶ τῆς ἁμάξης δέ σφι ὀχέετο ἡ μήτηρ. σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες, ἀπίκοντο ἐπὶ τὸ ἱρόν. ταῦτα δέ σφι ποιήσασι, καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος, τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο. διέδεξέ τε ἐν τούτοισι ὁ θεὸς, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν γνώμην· αἱ δὲ Ἀργεῖαι, τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε. ἡ δὲ μήτηρ, περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος, εὔχετο, Κλεόβι τε καὶ Βίτωνι, τοῖσι ἑωϋτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, δοῦναι τὴν θεὸν τὸ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. μετὰ ταύτην δὲ τὴν εὐχὴν, ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι, οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλεϊ τούτῳ ἔσχοντο. Ἀργεῖοι δέ σφεων εἰκόνας ποιησάμενοι, ἀνέθεσαν ἐς Δελφοὺς, ὡς ἀνδρῶν ἀρίστων γενομένων. Σό-

λων

λων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι· Κροῖσος δὲ σπερχθεὶς, εἶπε, Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέῤῥιπται ἐς τὸ μηδὲν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας; ὁ δὲ εἶπε. Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηΐων πρηγμάτων πέρι; ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστι ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθέειν. ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα, παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γινομένου. εἰ δὲ δὴ ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριάκοντα πέντε· ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων, χίλιαι πεντήκοντα. τούτων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσίων καὶ ἑξακισχιλίων καὶ δισμυρίων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον προσάγει πρῆγμα. οὕτω ὦν ὦ Κροῖσε πᾶν ἐστι ἄνθρωπος συμφορή. ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μέγα φαίνεαι, καὶ βασιλεὺς εἶναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με, οὔκω σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι· οὐ γάρ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος, ὀλβιώτερός ἐστι· εἰ μὴ ἡ τύχη ἐπίσποιτο, πάντα καλὰ ἔχοντα τελευτῆσαι τὸν βίον. πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι· πολλοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. ὁ μὲν δὴ μέγα πλούσιος, ἀνόλβιος δὲ, δυοῖσι προέχει τοῦ εὐτυχέος μοῦνον· οὗτος δὲ, τοῦ πλουσίου καὶ ἀνολβίου πολλοῖσι. ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προσπεσοῦσαν ἐνεῖκαι, δυνατώτερος· ὁ δὲ, τοῖσι δὴ προέχει ἐκείνου, ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει. ἄπηρος δέ ἐστι, ἄνουσος,

ἀπα-

ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής. εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι. πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν, μηδὲ καλέειν κω ὄλβιον, ἀλλ' εὐτυχέα. τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν ἄνθρωπον ἐόντα, ἀδύνατόν ἐστι· ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλὰ ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχοι ἀρίστη αὕτη. ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὐταρκές ἐστι. τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι. ὃς δ' ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, ὡς βασιλεύς, δίκαιός ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν κῇ ἀποβήσεται. πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς, προρρίζους ἀνέτρεψε. Ταῦτα λέγων τῷ Κροίσῳ, οὔκως οὔτε ἐχαρίζετο, οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς, ἀποπέμπεται· κάρτα δόξας ἀμαθέα εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς, τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε. Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε ἐκ θεῶν νέμεσις μεγάλη Κροῖσον, (ὡς εἰκάσαι) ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ τὴν ἀληθείην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες· τῶν οὗτερος μὲν διέφθαρτο (ἦν γὰρ δὴ κωφός) ὁ δὲ ἕτερος, τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος. οὔνομα δέ οἱ ἦν Ἄτυς. τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. ὁ δ' ἐπεί τε ἐξηγέρθη, καὶ ἑωυτῷ λόγον ἔδωκε, καταρρωδήσας τὸν ὄνειρον, ἄγεται μὲν τῷ παιδὶ γυναῖκα· ἐωθότα τε στρατηγέειν μιν τῶν Λυδῶν, οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτον πρῆγμα ἐξέπεμπε. ἀκόντια δὲ καὶ δοράτια, καὶ τὰ τοιαῦτα πάντα τοῖσι χρέονται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τοὺς θαλάμους συνένησε, μή τι οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ. Ἔχοντος δέ οἱ ἐν χερσὶ τοῦ παιδὸς τὸν γά-

γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος, καὶ οὐ καθαρὸς χεῖρας ἐών, Φρὺξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληΐου. παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία, κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο ἐπικυρῆσαι. Κροῖσος δέ μιν ἐκάθηρε. ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. ἐπεί τε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη· λέγων τάδε, Ἄνθρωπε, τίς τε ἐὼν, καὶ κόθεν τῆς Φρυγίης ἥκων, ἐπίστιος ἐμοὶ ἐγένεο; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας; ὁ δὲ ἀμείβετο, Ὦ βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεω εἰμὶ παῖς, ὀνομάζομαι δὲ Ἄδρηστος. φονεύσας δὲ ἀδελφεὸν ἐμεωυτοῦ ἀέκων πάρειμι, ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς, καὶ ἐστερημένος πάντων. Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε. Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐών, καὶ ἐλήλυθας ἐς φίλους. ἔνθα ἀμηχανήσεις χρήματος οὐδενὸς, μένων ἐν ἡμετέροις. συμφορὴν δὲ ταύτην ὡς κουφότατα φέρων, κερδανέεις πλεῖστον. ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσου. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ, ἐν τῷ Μυσίῳ Οὐλύμπῳ συὸς χρῆμα γίνεται μέγα· ὁρμεώμενος δὲ οὗτος ἐκ τοῦ ὄρεος τούτου, τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε. πολλάκις δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐλθόντες, ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ. τέλος δὲ, ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον τάδε, Ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει. τοῦτον προθυμεόμενοι ἑλεῖν, οὐ δυνάμεθα. νῦν ὦν προσδεόμεθα σεῦ, τὸν παῖδα καὶ λογάδας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν ἐκ τῆς χώρης. οἱ μὲν δὴ τούτων ἐδέοντο. Κροῖσος δὲ μνημονεύων τοῦ ὀνείρου τὰ ἔπεα, ἔλεγέ σφι τάδε, Παιδὸς μὲν πέρι τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμψαιμι· (νεόγαμός τε γάρ ἐστι, καὶ ταῦτά οἱ νῦν μέλει.) Λυδῶν μέντοι λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω. καὶ διακελεύσομαι τοῖσι ἰοῦσι, εἶναι ὡς προθυμοτάτοισι συνε-

ξε-

ξελεῖν ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης. Ταῦτα ἀμείψατο. Ἀποχρεωμένων δὲ τούτοισι τῶν Μυσῶν, ἐπισέρχεται ὁ τοῦ Κροίσου παῖς, ἀκηκοὼς τῶν ἐδέοντο οἱ Μυσοί. οὐ φαμένου δὲ τοῦ Κροίσου τόν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε, Ὦ πάτερ, τὰ κάλλιστα πρότερόν κοτε καὶ γενναιότατα ἡμῖν ἦν, ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐδοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληίσας ἔχεις, οὔτε τινὰ δειλίην μοι παριδὼν, οὔτε ἀθυμίην. νῦν τε τέοισί με χρὴ ὄμμασι ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι; κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι; κοῖος δέ τις τῇ νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνη δόξει ἀνδρὶ συνοικέειν; ἐμὲ ὦν σὺ ἢ μέθες ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιεόμενα. Ἀμείβεται Κροῖσος τοῖσδε, Ὦ παῖ, οὔτε δειλίην, οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι, ποιέω ταῦτα· ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπιστᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι· ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι. πρὸς ὦν τὴν ὄψιν ταύτην, τόν τε γάμον τοι τοῦτον ἔσπευσα, καὶ ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς σε ζωῆς διακλέψαι. εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον, διεφθαρμένον τὴν ἀκοὴν, οὐκ εἶναί μοι λογίζομαι. Ἀμείβεται ὁ νεηνίης τοῖσδε, Συγγνώμη μὲν ὦ πάτερ τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν ἔχειν. τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι φράζειν.